On the Temperaments and Powers of Simple Medicines I-VI: Book 2 by Galen of Pergamon

11.459 *ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΑΣΕΩΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΒΙΒΛΙΟΝ Β.*

Οἱ τοὺς οἰκείους ὅρους ὑπερβαίνοντες σοφισταὶ μακρὸν ἡμῖν ποιοῦσιν τὸν περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως λόγον. πόρρωθεν γὰρ ἀρχόμενοι καὶ τὴν αἴσθησιν ἀτιμάζοντες, ἐμβάλλοντές τε σφᾶς αὐτοὺς εἰς τὰ καὶ ἐν τοῖς φιλοσόφοις ἠπορημένα, προσαπολλύουσιν οἷς ἀγνοοῦσιν καὶ τὰ σαφῶς γινωσκόμενα. καὶ ταῦτα ποιοῦσιν οἱ πλείους
11.460 αὐτῶν ἀμαθεῖς ὑπάρχοντες οὐ τῆς φυσικῆς θεωρίας μόνον, ἀλλὰ καὶ τῶν λογικῶν μεθόδων, αἷς ἀναγκαῖόν ἐστιν χρῆσθαι τὸν ὁτιοῦν ἀποδείξαντα, ὥστε μήθ᾽ ὅσα καλῶς εὕρηται τοῖς φυσικοῖς ἀνδράσιν μήθ᾽ ὑπὲρ ὧν αὐτῶν εὐλόγως ἠπόρηται γινώσκοντες, ἑκατέροις πολλάκις ἀποφαίνεσθαι τολμῶσι τἀναντία. φέρε δὲ ὦ πρὸς θεῶν, εἴπερ ἐγὼ νῦν ἀρξάμενος ὧδέ πως λέγειν, ὡς τεττάρων ὄντων στοιχείων ἀέρος καὶ γῆς ὕδατός τε καὶ πυρὸς, ὡς οὐδενὸς ἄλλου ξύμφυτόν ἐστι τὸ λευκὸν καὶ λαμπρὸν χρῶμα, πλὴν αὐγῆς καὶ πυρὸς, εἶτα καὶ τὸν Ἐμπεδοκλέα καὶ τοὺς ἄλλους τινας τῶν φυσικῶν ἐπὶ τῷ λόγῳ καλέσας μάρτυρας, ἅπαντα τὰ λαμπρὰ σώματα πυρὸς πλείστου μετέχειν ἀποφηναίην ἀμελήσας ἐμβλέψαι χιόνι καὶ ψιμυθίῳ καὶ κρυστάλλῳ ἑτέροις τε μυρίοις τῶν λαμπροτάτων τε ἅμα καὶ ψυχροτάτων, εἶτά τινος αὐτὰ προχειριζομένου, τὸν ἀπὸ τῆς αἰσθήσεως ἔλεγχον ἀποδιδράσκων ἀξιοίην ἐπὶ τὸν λόγον ἰέναι καὶ τούτῳ σκοπεῖσθαι περὶ φύσεως πραγμάτων, οὐκ αἰσθήσεσιν ἀλόγοις ἐπιτρέπειν τὸ πᾶν, ἆρ᾽ οὐκ ἂν τοῖς νοῦν ἔχουσιν μαίνεσθαι
11.461 δόξαιμι, μηδ᾽ ἀφ᾽ ὧν ἄρχομαι τοῦ λόγου γινώσκων; ἐξ αἰσθήσεως γὰρ, οἶμαι, καὶ δι᾽ αἰσθήσεως ἅπαντα τὰ τοιαῦτα τῶν ἀξιωμάτων ἐμάθομεν, ὡς ὁ μὲν ἥλιος λαμπρός ἐστιν, αἱ δὲ φλόγες ὑπόξανθοι, τῶν δ᾽ ἀνθράκων οἱ πλεῖστοι ξανθοί. εἰ μὲν οὖν ἀποστητέον ἐστὶ ταῖς αἰσθήσεσιν, οὐδεμίαν ἕξομεν ἀπόδειξιν οὔθ᾽ ἡμεῖς ὧν νῦν εἰρήκαμεν οὔτε Ἐμπεδοκλῆς ὠδὶ γράφων,

Ἠέλιον μὲν θερμὸν ὁρᾷν καὶ λαμπρὸν ἁπάντη.

εἰ δέ ἐστιν ἀληθῆ ταῦτα, δῆλον ὡς πολὺ πρότερον αὐτῶν τὴν αἴσθησιν

εἶναι χρὴ πιστήν. ἀλλ᾽ ἄρχεσθαι μέν φασιν ἀπὸ τῶν αἰσθήσεων ἀναγκαῖόν ἐστιν ἀνθρώπους γε ὄντας, οὐ μὴν ἐπ᾽ αὐτήν γε προσήκει καταμένειν διὰ παντὸς, ἀλλ᾽ ἐπὶ τὸ θειότερον ἰέναι τὸν λόγον. αἰσθήσεως μὲν γὰρ καὶ τοῖς ἀλόγοις ζώοις μετεῖναι, λόγου δὲ μόνον τοῖς θεοῖς. κᾀντεῦθεν ἀρξάμενοι, δολιχὸν ἀποτείνουσι τὸν λόγον. καί τινες ἐξ αὐτῶν καὶ τὸν Ἀναξαγόραν ἐπικαλοῦνται μάρτυρα, περὶ τῆς χιόνος ἀποφηνάμενον, ὡς οὐκ εἴη λευκή. οὗτος ἄρα, φασὶ, φυσικὸς ἀνὴρ ὑπὲρ
11.462 τὴν αἴσθησίν ἐστιν καὶ καταφρονεῖ μὲν τῶν ταύτης φαντασμάτων, ἐπὶ δὲ τὸν λόγον ἀνέρχεται, καὶ τούτῳ τὴν τῶν ὄντων θηρᾶται φύσιν. ἐμὲ δ᾽ εἰ χρὴ τὸ παριστάμενον εἰπεῖν, ὡς ἐλευθέριόν τε καὶ παρ᾽ ὅλον τὸν βίον ἀλήθειαν σπουδάσαντα, μελαγχολίας ἐπέκεινα προεληλυθέναι νομίζω τοὺς τὰ τοιαῦτα ληροῦντας. εἰ μὲν γὰρ ἀνατρέψουσι τὰ διὰ τῶν αἰσθήσεων ἐναργῶς φαινόμενα, πόθεν ἄρξονται τῶν ἀποδείξεων οὐχ ἕξουσιν. εἰ δ᾽ ὡς ἀπὸ πιστῶν ἄρξονται, πῶς ὕστερον εὐλόγως ἀπιστήσουσιν, αἱ γὰρ τῶν ἀποδείξεων ἀρχαὶ πιστότεραι τῶν ἀποδεικνυμένων, ἃ τῆς ἐξ ἑτέρων δεῖται πίστεως. αἱ δ᾽ ἀρχαὶ τῶν ἀποδείξεων οὐ μόνον αὐταὶ καθ᾽ ἑαυτὰς, ἀλλὰ καὶ πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν ὑπάρχουσι πισταί.

Καὶ ἔγωγ᾽ ἂν εὐξαίμην ἅπαντα τὰ πράγματα ταῖς αἰσθήσεσιν ἡμῶν ἐναργῶς ὑποπίπτειν καὶ μηδὲν εἶναι τὸ διαφεῦγον αὐτὰς, ὡς οὔτως ἂν οὔτ᾽ ἄπορον οὔτ᾽ ἀμφισβητούμενον ἦν οὐδέν. ἐπεὶ δ᾽ ἐκφεύγει τινὰ, πειρατέον ἐπάγειν αὐτοῖς τὸν λόγον, ἀλλ᾽ οὔτε πόρρωθεν, ὡς ἐκεῖνοι
11.463 ποιοῦσιν, οὔτ᾽ ἀπέραντα συλλογιζομένους, ἀλλὰ πρῶτον μὲν τὰ σημαινόμενα τῶν ὀνομάτων ἀκριβῶς διαιρουμένους, ἵνα μή τις παρὰ τὴν ὁμωνυμίαν ἐν τοῖς μετὰ ταῦτα ἀπάτη γίγνηται. δεύτερον δὲ τὸ καθ᾽ αὐτό τι δρῶν, τοῦ κατὰ συμβεβηκὸς ἀφορίζοντας. εἴρηται δ᾽ ἐν τοῖς ἔμπροσθεν ὑπὲρ ἀμφοῖν ἀκριβῶς, καὶ τὰ σημαινόμενα τῶν δυνάμει θερμῶν, ἢ ψυχρῶν, ἢ ξηρῶν, ἢ ὑγρῶν, ἢ ὁτιοῦν ἄλλο λεγομένων εἶναι διῄρηται. καὶ ὅπως ἄν τις εὑρίσκοι τὴν οἰκείαν ἑκάστου φαρμάκου δύναμιν ἀφορίζων τοῖς κατὰ συμβεβηκὸς, ἔν τε τῷ τρίτῳ περὶ κράσεων βιβλίῳ καθόλου διεληλύθαμεν, ἔν τε τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ διὰ τῶν κατὰ μέρος ἐπεξίωμεν, ὡς ἤδη κᾀν τῷ πρώτῳ βιβλίῳ πεποιήκαμεν ἐφ᾽ ὕδατος καὶ ὄξους· ἐνταυθοῖ δὲ πάλιν, ἐπ᾽ ἐλαίου τε καὶ ῥοδίνου πράξομεν,

ἐνδειξάμενοι πρότερον ἡλίκον ἁμαρτάνουσιν οἱ πόρρωθεν τῶν ἰατρῶν ἀποδείξεων ἀρχόμενοι. τί γὰρ ἔδει τὴν χρόαν ἐλαίου σκοπεῖν, ἢ ῥόδων, ἔχοντάς γε αὐτοῖς χρῆσθαι τοῖς πράγμασιν πολυειδῶς, οὐκ ἐπὶ τῶν ὑγιαινόντων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν νοσούντων σωμάτων; καὶ γὰρ αὐτὰ καθ' ἑαυτὰ ῥόδα καὶ τὸν χυλὸν αὐτῶν ἔνεστι λαμβάνοντας
11.464 ἐπιτιθέναι τῷ σώματι καὶ ὑγιαίνοντι καὶ νοσοῦντι νόσον ἁπλῆν, ὡς ἔμπροσθεν, εἴρηται καὶ μιγνύντας ἐλαίῳ γλυκεῖ, κατά τε τῶν ἰσχυρῶς ἐψυγμένων ἢ τεθερμασμένων σωμάτων ἐπιφέρειν, ἀνατρίβοντάς τε καὶ κατατλοῦντας καὶ καταβρέχοντας, εἴσω τε τοῦ σώματος λαμβάνειν ἢ ἄνωθεν διὰ τοῦ στόματος, ἢ κάτωθεν διὰ τῆς ἕδρας, εἶθ' ὁρᾷν τὸ γιγνόμενον ἐφ' ἑκάστῃ χρήσει. καὶ γὰρ δὴ καὶ τούτου χάριν ἐπισκεπτόμεθα τὴν δύναμιν πάντων τῶν φαρμάκων, ἵνα ἔχωμεν οἷς δεῖ χρῆσθαι, διακαιομένων ὑποχονδρίων καὶ κεφαλῆς, ἢ κατεψυγμένων, ἢ ἡλκωμένων, ἢ φλεγμαινόντων, ἤ τι τοιοῦτον ἕτερον πασχόντων, αὐτῶν τε τούτων καὶ τῶν ἄλλων ἁπάντων μελῶν τοῦ σώματος. εἶθ' οὕτως ἐναργῆ τε ἅμα καὶ σύντομον ὁδὸν ἔχοντες ἐφ' ἃ ζητοῦμεν, ἔτι χρόας ἐξετάσομεν, ἢ ὀσμὰς, ἢ συστάσεις, ἢ ψόφους ἑκάστου τῶν φαρμάκων ὅμοιόν τι δρῶντες, τοῖς ἐξ εἰκόνος ἤτοι πλαστῆς, ἢ γραπτῆς ἄνθρωπόν τινα διαγνῶναι βουλομένοις ἐνὸν, αὐτὸν θεάσασθαι τὸν γνωρισθησόμενον.

11.465 Ταύτῃ τοίνυν ἁμαρτάνειν μοι δοκοῦσιν οὐ σμικρὰ, καὶ τούτων ἔτι μᾶλλον ἐν οἷς ἀπέραντα καὶ ἀναπόδεικτα φλυαροῦσιν, ἀμαθεῖς ὑπάρχοντες ἀποδεικτικῆς μεθόδου. ὑποκείσθω γὰρ τὸ πῦρ, εἴτε ξανθὸν εἴτε ἐρυθρὸν, ἢ ὡς ἂν ἐθέλωσιν, οὐ γάρ μοι διαφέρει. τί οὖν τοῦτο πρὸς τὸ πᾶν ἐρυθρὸν θερμὸν εἶναι; πᾶν μὲν γὰρ πῦρ, εἰ οὕτως ἔτυχεν, ἐρυθρὸν εἶναι λεκτέον ἐστίν. πᾶν δὲ τὸ ἐρυθρὸν πῦρ εἶναι φάναι καταγέλαστον, ἔτι δὲ μᾶλλον εἰ πᾶν τὸ ἐρυθρὸν θερμὸν εἶναι λέγοι τις. εἰ μὲν ἐξ ἀρχῆς εἴληπτο κατὰ τὸν λόγον, ὡς πᾶν τὸ θερμὸν ἐρυθρόν ἐστιν, ἦν ἴσως διαστρέψαντα τὸ ἀξίωμα τὸ ἐρυθρὸν ἅπαν ἀποφῆναι θερμὸν ἁμαρτάνοντα μὲν κἀν τούτῳ προφανῶς. οἱ γὰρ ἀντιστρέφοντες, οὐχ οἱ ἀναστρέφοντες ἀλλήλοις λόγοι συναληθεύονται, ἀλλ' ὅμως ἦν ἂν, οἶμαι, πλησίον ὁ παραλογισμός. ἐπεὶ δὲ οὐδ' αὐτὸ τοῦτο κατ' ἀρχὰς εἴληπται, λέγω δὴ τὸ πᾶν εἶναι τὸ θερμὸν ἐρυθρὸν, οὐδ' ἀναστρέψαντα δυνατὸν

εἰπεῖν ἅπαν εἶναι τὸ ἐρυθρὸν θερμόν. τριχῶς οὖν ἁμαρτάνουσι κατὰ τὸν
11.466 λόγον οἱ φάσκοντες τὰ ῥόδα θερμὰ τὴν κρᾶσιν ὑπάρχειν, ὅτι καὶ ἐρυθρά. πρῶτον μὲν ὅτι μὴ δείξαντες ὅτι πᾶν πῦρ ἐρυθρὸν ἀντιστρέφειν αὐτῷ, ὅτι πᾶν ἐρυθρὸν πῦρ πειρῶνται λόγον ἕτερον, ὡς ἀληθῆ· δεύτερον δ' ὅτι μὴ γινώσκουσι τοὺς ἀντιστρέφοντας, οὐ τοὺς ἀναστρέφοντας τοῖς ἀληθέσι λόγοις ἀληθεῖς εἶναι καὶ αὐτούς. καὶ τρίτον ὅτι κἂν ἀντιστρέφωσιν, οὐ τὸ πᾶν εἶναι τὸ τῇ χρόᾳ ἐρυθρὸν θερμὸν ἐκ τῆς ἀντιστροφῆς περανθήσεται, ἀλλὰ ἕτερον αὐτοῦ τι τοιοῦτον ἀξίωμα, τὸ ἐρυθρὸν ἅπαν πῦρ ἐστιν. ὅτι δ' οὐ μόνον ἄχρηστον εἰς τὰ παρόντα τὸ τοιοῦτον, ἀλλὰ καὶ προφανῶς ψεῦδός ἐστιν, δῆλον παντί. δεόμεθα γὰρ οὐκ εἰ τὸ ἐρυθρὸν ἅπαν πῦρ ἐστιν, ἀλλ' ὅτι θερμὸν ἀποδειχθῆναι. ὡς εἴ γε πῦρ ἐστι πᾶν τὸ ἐρυθρόν, ἔσται δηλονότι καὶ τὸ ῥόδον ἡμῖν πῦρ. ἀλλ' οἱ μὴ γινώσκοντες, οἶμαι, τὰς λογικὰς μεθόδους ἰατροὶ, πρῶτον μὲν ἐπ' αὐτῷ τούτῳ μέγιστα σφάλλονται, τῷ τοὺς οἰκείους ὅρους ὑπερβαίνειν. ἱκανὴ γὰρ ἡ πεῖρα μετὰ βραχέων ἐπιλογισμῶν ἐξευρίσκειν τὰς δυνάμεις τῶν φαρμάκων εἶτα καὶ κατὰ τοὺς λόγους ἁμαρτάνουσιν ὅμοια τοῖς
11.467 ἀρτιμαθέσι λογικῆς θεωρίας παισί. τῆς δ' αὐτῆς πλημμελείας ἔχονται καὶ ὅσοι ταῖς ὀδμαῖς τεκμαίρονταί τι περὶ δυνάμεως φαρμάκων. οὐδὲ γὰρ ἅπαν εὐῶδες θερμὸν, ὡς λέγουσί τινες, ἀγνοοῦντες ὅπως ἀκούειν χρὴ τῶν ὑπ' Ἀριστοτέλους καὶ Θεοφράστου περὶ τούτων εἰρημένων, ἃ κατὰ τὸ τέταρτον τῶνδε τῶν ὑπομνημάτων ἡμεῖς διοριοῦμεν, οὔθ' ἅπαν θερμὸν εὐῶδες, οὐ μὴν οὐδὲ δυσῶδες ἅπαν θερμὸν, οὐδ' εἴ τι θερμὸν ὑπάρχει, δυσῶδες. οὕτω κἂν εἰ τὸ δυσῶδες ἅπαν φαίη τις ψυχρὸν, ἢ τὸ ψυχρὸν δυσῶδες, οὐκ ἀληθεύει. καὶ γὰρ καὶ τῶν θερμῶν μυρία τὰ μὲν εὐώδη, τὰ δὲ δυσώδη, τὰ δ' οὐδέτερα καὶ τῶν ψυχρῶν ὡσαύτως. καίτοι τί λέγω ψυχρὰ καὶ θερμὰ, δέον θερμαίνοντα καὶ ψύχοντα λέγειν ἡμᾶς, ἅπερ καὶ ζητοῦμεν. οὐ γὰρ δὴ τό γε ἁπλῶς θερμὸν ἢ τὸ πρὸς τοῦτο ἐξεταζόμενον ἐπισκέπτεσθαι πρόκειται νῦν, ἀλλὰ τὸ θερμαῖνον ἀνθρώπειον σῶμα. καὶ δὴ καὶ ψυχρὸν οὐχ ἁπλῶς, ἀλλ' ὅ τι περ ἂν ἄνθρωπον ψύχῃ. πάλιν οὖν ἐνταῦθα μὴ διελόμενοι τὰ σημαινόμενα τῶν
11.468 ὀνομάτων σφάλλονται παρὰ τὴν ὁμωνυμίαν, ὥσπερ εἰ καὶ περὶ χερσαίου τις κυνὸς διαλεγόμενος ἐπὶ τὸν θαλάττιον μεταβαίνοι τῷ λόγῳ, νομίζων ὥσπερ τοὔνομα τῶν ζώων ἀμφοτέρων ἕν ἐστιν, οὕτω καὶ τὴν φύσιν

αὐτῶν μίαν ὑπάρχειν. ἀλλ᾽ ἡμῖν δέδεικται σαφῶς ἐν τοῖς περὶ κράσεως ὑπομνήμασιν, ἃ καὶ κατ᾽ ἀρχὰς εὐθὺς ἡγεῖσθαι τῆσδε τῆς πραγματείας ἔφαμεν, ἄλλο μὲν εἶναι τὸ δυνάμει θερμὸν, ἄλλο δὲ τὸ ἐνεργείᾳ. καὶ τούτου τοῦ ἐνεργείᾳ θερμοῦ τὸ μὲν ἁπλῶς λέγεσθαι θερμὸν, τὸ δὲ κατ᾽ ἐπικράτησιν, τὸ δὲ πρὸς τὸ σύμμετρον ὁμογενὲς, τὸ δὲ πρὸς ὁτιοῦν τὸ ἐπιτυχόν. καὶ δὴ καὶ τὸν ἄνθρωπον οὐχ ἁπλῶς θερμὸν, ὥσπερ τὸ πῦρ, ἀλλ᾽ ἐπικρατήσει θερμὸν ὑπάρχειν ἐλέγομεν. εἶναι γὰρ ἐν αὐτῷ πλείονα τοῦ θερμοῦ μοῖραν ἢ τοῦ ψυχροῦ. καὶ τοίνυν καὶ ὅσα πρὸς τούτων λέγεται θερμὰ δυνάμει, τῷ τοῦτον θερμαίνειν λεχθήσεται. καὶ ἡ κρίσις αὐτῶν ῥᾴστη τέ ἐστι καὶ διὰ τῆς ἐμπειρίας ἐξετασθήσεται, βραχέων, ὡς εἴρηται, καὶ πρόσθεν ἐπιλογισμῶν δεομένη. τούτους οὖν ὑπερβαίνοντες
11.469 οἱ σοφισταὶ, τόν τε χρόνον ἀναλίσκουσι τῶν μειρακίων καὶ σοφίσμασι παράγοντες ἀνθρώπους ἀγυμνάστους λύσεως σοφισμάτων ἀναπιμπλᾶσι ψευδῶν δογμάτων. ἐχρῆν γὰρ μήτε χρόας μνημονεύειν αὐτοὺς μήτ᾽ ὀδμῆς, ἀλλὰ μηδὲ συστάσεως, ἢ λειότητος, ἢ τραχύτητος, ἤ τινος ἑτέρου τοιούτου. τί γὰρ ὅτι γλίσχρον τοὔλαιον, ἢ ὅτι λεῖον, ἢ ὅτι στίλβον, ἢ ὑγρὸν, ἢ ὠχρὸν, ἢ λιπαρὸν, ἢ ὀλισθηρὸν, ἢ δυσξήραντον ἐπαλειφόμενον τοῖς σώμασιν; οὔτε γὰρ εἰ θερμὸν, οὔτε εἰ ψυχρὸν, οὔτ᾽ εἰ ξηρὸν, οὔτ᾽ εἰ ὑγρόν ἐστιν τὴν δύναμιν, ἐξ οὐδενὸς ἔνεστι τῶν τοιούτων συλλογίσασθαι. καὶ γὰρ τῶν γλίσχρων καὶ τῶν λείων καὶ τῶν στιλβόντων τὰ μὲν θερμαίνει φανερῶς ἡμᾶς, τὰ δὲ ψύχει, καὶ τὰ μὲν ξηραίνει, τὰ δὲ ὑγραίνει. καὶ καθ᾽ ἕκαστον τῶν συμβεβηκότων οὐκ ἐλαίῳ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν οὐδέν ἐστιν εὑρεῖν πάγιον οὐδὲ διηνεκὲς, ὡς ἐπ᾽ αὐτῷ συστήσασθαί τινα καθόλου πρότασιν.

Ἐῶ γὰρ λέγειν ὅτι οὐδὲ ἐπιστημονικοῖς ἐν ἅπασι τοῖς τοιούτοις λόγοις οἱ
11.470 σοφισταὶ χρῶνται πρὸς τὴν τῶν λημμάτων εὕρεσιν, ἀλλ᾽ ἐξ ἐπαγωγῆς, καὶ τὸ χεῖρον ἁπάντων, ὅτι μηδ᾽ ἐπισκεψάμενοί ποτε περὶ φύσεως ἐπαγωγῆς, μηδ᾽ ἄν τις αὐτοὺς εἰς τοῦτο προκαλῆται, τολμῶντες ἀκολουθεῖν, ἀλλὰ καὶ τοῖς ὑπὲρ ἀποδείξεώς τι πραγματευομένοις ἐπιτιμῶντες. ἔτι δὲ χεῖρον ὅτι μηδ᾽ ἐξ ἐπαγωγῆς μόνον, ἀλλ᾽ ἐκ παραδειγμάτων ἐνίοτε συλλογίζονται, καθάπερ οἱ ῥήτορες. ὅ τε γὰρ φάσκων ψυχρὸν εἶναι τοὔλαιον, ὅτι καὶ γλίσχρον, ὥσπερ καὶ τὸ φλέγμα, διὰ παραδείγματος συλλογίζεται, τὴν ἴσην ἰσχὺν τῆς ἀποδείξεως

παρέχων ὁμοίως τῷ λέγοντι θερμὸν ὑπάρχειν αὐτὸ, διότι γλίσχρον ἐστὶν, ὡς ὁ ἰξός· ὅ τε φάσκων θερμὸν εἶναι, ὅτι ῥᾳδίως ἐκφλογοῦται καθάπερ ἄσφαλτος, τῷ λέγοντι ψυχρὸν εἶναι, διότι ῥᾳδίως πήγνυται, καθάπερ ὕδωρ. τὸ γὰρ ἐκ παραδείγματος ἢ ἐκ παραδειγμάτων πιστοῦσθαί τι διαφέρει τοῦ δι' ἐπαγωγῆς πιστουμένου τῷ τὸν μὲν ἐκ παραδειγμάτων πιστούμενον ἓν μὲν ἢ δύο τῶν ὁμογενῶν λέγειν, ἢ πάντως γε ὀλίγα τὰ πλείω παραλείποντα, τὸν δ' ἐξ ἐπαγωγῆς ἅπαντα περιλαμβάνειν
11.471 πειρᾶσθαι τὰ διὰ τῆς ἐμπειρίας ἐγνωσμένα, καὶ μηδὲν ὡς οἷόν τε παραλιπεῖν ὃ προφανές τε καὶ δῆλον τοῖς πολλοῖς, ἀλλὰ ἀποκεκρυμμένον τε καὶ ὀλίγοις γνωστόν. ὅθεν καὶ βίαιός ἐστιν καὶ πείθει σφοδρῶς ἡ διὰ πάντων τῶν ἐξ ἐμπειρίας γινωσκομένων ἐπαγωγὴ καὶ μόνοις αὐτοῖς ἡ ἀλαζονεία κατάφωρος γίνεται τοῖς γεγυμνασμένοις ἐν ἀποδεικτικαῖς μεθόδοις. καὶ διὰ τοῦθ' ἡμεῖς ἐπιπλέον ὑπὲρ αὐτῆς ἐν τοῖς περὶ τῆς ἀποδείξεως ὑπομνήμασιν διήλθομεν. ἴσως δ' ἄν ποτε καὶ κατὰ μόνας ἓν ὑπὲρ αὐτῆς ἰδίᾳ συνθείημεν γράμμα.

Φανεῖται δὲ καὶ νῦν οὐδὲν ἧττον ἡ φύσις αὐτῆς τε τῆς ἐπαγωγῆς καὶ πολὺ δὴ μᾶλλον ἡ τοῦ παραδείγματος. ἅπαντα γὰρ ἐπελθεῖν ἔγνωκα διὰ κεφαλαίων ὅσα τοῖς ἰατροῖς εἴρηται περὶ δυνάμεως ἐλαίου, πιθανῶς μὲν τῷ δοκεῖν, οὐ μὴν ἀληθῶς γε. καὶ πρῶτον τὸ ὑπὸ Διοκλέους ἐν Ἀρχιδάμῳ λελεγμένον, ὡς σκληρύνεσθαι καὶ ἐπικαίεσθαι τὸ δέρμα τοῖς ἐν ἐλαίῳ τριβομένοις, ὑπελάμβανεν ὁ Ἀρχίδαμος καὶ διὰ τοῦτο τὴν ξηροτριβίαν προὔκρινε. συνεκπυροῦσθαί τε γὰρ, φησὶ, καὶ ἐπικαίειν τὸ ἔλαιον ὑπὸ τῆς
11.472 τρίψεως θερμαινόμενον ἐνόμιζεν καὶ κατὰ τοῦτο ἐξικμάζειν καὶ ξηραίνειν ἱκανῶς, ὥσπερ τῶν ὀπτωμένων τὰ χριόμενα. καὶ γὰρ καὶ ταῦτα σκληρύνεσθαι μᾶλλον ἢ εἰ χωρὶς ἐλαίου τις ὀπτήσειεν. αὐτὴν δὲ ἴσως ἄμεινον ὅλην παραγράψαι τοῦ Διοκλέους τὴν ῥῆσιν. ἔχει δὲ ᾧδε· τὸ δὲ μετ' ἐλαίου τρίβειν οὐχ ὁμοίως ἐδοκίμαζε. πρῶτον μὲν γὰρ ἀνώμαλον ᾤετο γίνεσθαι τὴν τοιαύτην τρίψιν παρὰ τὸ τὰς χεῖρας ὀλισθαίνειν καὶ μὴ δύνασθαι τῆς σαρκὸς ὁμοίως ἀντιλαμβάνεσθαι διὰ τὸ λίπος. ἔτι δὲ καὶ σκληρύνεσθαι καὶ ἐπικαίεσθαι τὸ δέρμα τοῖς οὕτω τριβομένοις ἔφη μᾶλλον ἢ τοῖς ξηροῖς. συνεκπυροῦσθαι γὰρ καὶ ἐπικαίειν τὸ ἔλαιον θερμαινόμενον ὑπὸ τῆς τρίψεως, καθάπερ τῶν ὀπτωμένων τὰ χριόμενα τῶν μὴ χριομένων, ἐκπυρουμένου τοῦ ἐλαίου θερμαινόμενα καὶ

ἐξικμαζόμενα λίαν σκληρύνεσθαι μᾶλλον. ὁμοίως δὲ καὶ τὰ ἐν τῷ ἐλαίῳ ἑψόμενα κραῦρα καὶ καπυρὰ γίνεσθαι διὰ τὴν αὐτὴν αἰτίαν. πρὸς δὲ τούτοις, ὥσπερ τὰ ξύλα καὶ τὰ δέρματα καὶ τὰ ἄλλα τὰ μετ᾽ ἐλαίου τριβόμενα συνδιαδίδωσιν εἴσω τὸ ἔλαιον, οὕτως ᾥετο καὶ τὰ σώματα.

11.473 τούτου δὲ γιγνομένου πολλὰ τῶν εἰθισμένων διὰ τῆς σαρκὸς μετὰ τοῦ πνεύματος ῥεῖν καὶ ἔξω διαπίπτειν ἀποστέγεσθαι, ὥσπερ καὶ διὰ τῶν ἠθμῶν καὶ τῶν ὀθονίων καὶ ἐρίων καὶ πάντων δι᾽ ὧν ἠθεῖταί τι ἐγχεόμενον καὶ χριόμενον, οὐ δύνασθαι τὰ ὑγρὰ ῥεῖν ὁμοίως. ἀπολαμβανομένης δὲ τῆς τοιαύτης ἐκκρίσεως τὰ μὲν παλιρροεῖν εἴσω, συμπληροῦν ἀθροιζόμενα τοὺς πόρους ἀλλήλοις πλεκόμενα καὶ ὑπὸ τοῦ ἐλαίου περιλαμβανόμενα διὰ τὸ ἔχειν τι ἰξῶδες τὸ ἔλαιον, ὥσπερ ἐπὶ τῶν ἄλλων φαίνεται τὸ λιπαρὸν τοὺς κονιορτοὺς καὶ τὰ κάρφη καὶ τὰ ἄλλα τὰ τοιαῦτα συνθηρεύειν. ἐμφραττομένων δὲ τῶν πόρων ἀεὶ καὶ κατὰ μικρὸν ἀναγκαῖον εἶναι πολλὰ χεῖρον ἀποτελεῖσθαι τῶν εἰθισμένων γίγνεσθαι κατὰ φύσιν. ὑπελάμβανε δέ τι καὶ δηκτικὸν ἔχειν αὐτό, παρ᾽ ὃ καὶ τοὺς ὀφθαλμοὺς δακρύειν καὶ τὴν φάρυγγα κέρχνειν καὶ τὴν κοιλίαν ξύειν καὶ αἱματώδεις ποιεῖν διαχωρήσεις πινόμενον. ἄνευ μὲν οὖν τρίψεως ἀλειφομένους οὐδὲν λυπεῖν· ἀσθενεστέραν γὰρ εἶναι τὴν δῆξιν ἢ

11.474 ὥστε ποιεῖν τινα αἴσθησιν· μετὰ δὲ τῆς τρίψεως εἰσδυόμενον εἰς τὴν σάρκα, κακουργεῖν μᾶλλον τῇ δήξει καθάπερ πολλὰ τῶν φαρμάκων, οὕτω μὲν ἐπιχρισθέντα ἧττον ἰσχύειν, προσπιεζόμενα δὲ καὶ εἰσδυόμενα εἴσω μᾶλλον ἐνεργεῖν. καὶ δὴ καὶ ταῖς ἀκαλήφαις καὶ ἄλλοις πολλοῖς ἡσυχῇ μὲν ψαύοντας οὐδὲν ἐνοχλεῖν, τύπτοντας δὲ καὶ προσπιέζοντας λυπεῖν. ἃ μὲν οὖν ὁ Διοκλῆς ἐν Ἀρχιδάμῳ λέγει ταῦτ᾽ ἔστιν. πάρεστι δὲ σκοπεῖν ἅμα τό τε πιθανὸν αὐτῶν καὶ μοχθηρόν. ὅτι μὲν γὰρ ἐν ἐλαίῳ πᾶν ὁτιοῦν ἑψόμενον ἀπόλλυσι τὴν οἰκείαν ὑγρότητα καὶ ψαθυρὸν καὶ κραῦρον γίγνεται ταχέως, οὐδὲν τοιοῦτον πάσχον ἐν ὕδατι πρὸς τῆς ἐμπειρίας ἐδιδάχθημεν, ὥστε ταύτῃ μὲν οὐδὲν ὁ Ἀρχίδαμος ἐψεύσατο. δέον δὲ ὥσπερ ὁ Ἀριστοτέλης καὶ Θεόφραστος, ἕτεροί τέ τινες ἄνδρες φιλόσοφοι, τὰ τοιαῦτα τῶν προβλημάτων ἐν τοῖς φυσικοῖς ζητήμασιν προβάλλουσί τε καὶ λύουσι, καὶ αὐτὸς, εἴπερ ἐβούλετο τὰς αἰτίας ἁπάντων τῶν γιγνομένων ζητεῖν, ὁμοίως ἐκείνοις προβάλλειν τε καὶ λύειν. εἰ δ᾽ οὐ φαίνεται τοῦτο ποιῶν, ἐν τούτῳ καὶ μάλιστα δοκεῖ μοι

11.475 σφάλλεσθαι. τὸ μὲν γὰρ φαινόμενον ἐναργῶς ἀεὶ χρὴ τίθεσθαι πρῶτον, ἐπισκέπτεσθαι δὲ ἐφεξῆς, εἴ τις ἐθέλοι, τὴν αἰτίαν αὐτοῦ, φυσικὰ προβλήματα συντιθέντα τρόπῳ τοιῷδε. διὰ τί τὸ μὲν ἔλαιον ξηρὰ καὶ ψαθυρὰ καὶ κραῦρα τὰ ἐν αὐτῷ καθεψόμενα ποιεῖ, τὸ δὲ ὕδωρ ὑγρὰ καὶ μαλακά; ἢ διὰ τί τὰ μὲν ἑψόμενα κατὰ τοὔλαιον ἀποξηραίνεται, τὰ δ' ἄλλως ἐν αὐτῷ βρεχόμενα φυλάττει τὴν οἰκείαν ὑγρότητα μᾶλλον ἢ εἰ μηδ' ὅλως ἐβρέχετο; διὰ τί δὲ τὰς ἀπὸ σκίλλης καὶ ἀκαλήφης δήξεις ἰᾶται; διὰ τί δὲ τούτων μὲν ἰατρικόν ἐστιν, αὐτὸ δὲ δάκνει τοὺς ὀφθαλμούς; διὰ τί τὸ μὲν ἄλλο σῶμα πᾶν οὐ δάκνει, τοὺς ὀφθαλμοὺς δὲ δάκνει; διὰ τί τὴν μὲν φάρυγγα τραχύνει, τὰ δὲ ἕλκη παρηγορεῖ; διὰ τί γαστρὸς ὑπαγωγόν ἐστι; διὰ τί κόπων ἰατικόν; διὰ τί τοὺς ἀλειψομένους ἀπεριψύκτους τηρεῖ; διὰ τί τῶν ἐντόμων ζώων ἀναιρετικόν ἐστι; διὰ τί τῶν ἱμάντων καὶ βυρσῶν μαλακτικὸν ὑπάρχει, τῶν δ' ἑψομένων ἐν αὐτῷ σχεδὸν ἁπάντων σκληρυντικόν; ἓν μὲν εἶδός σοι προβλημάτων τοῦτο, φυσικῷ προσῆκον μόνῳ. τὸ δ' ἕτερον, ὃ κοινὸν ἤδη καὶ τοῖς ἀπὸ
11.476 τῶν τεχνῶν, ἔστι τοιόνδε. διὰ τίνα αἰτίαν ἐπαλείφουσιν ἐλαίῳ πρότερον ὀπτῶντες οἱ μάγειροι τοὺς ἰχθῦς καὶ τὰ κρέα; διὰ τί τρίβουσιν ἐλαίῳ τοὺς ἀθλητὰς οἱ γυμνασταί; διὰ τί δὲ καὶ οἱ παιδοτρίβαι τοὺς παῖδας; ἔνεστι γὰρ ἑκάστου τῶν τοιούτων προβλημάτων ἐμπειρικὴν αἰτίαν ἀποδοῦναι, τοὺς μὲν ἰχθὺς καὶ τὰ κρέα διὰ τοῦτο ἐπαλείφειν τῶν μαγείρων ἐρούντων ἂν, ὅτι ξηρὰ καὶ περικεκαυμένα τὰ ἐκτὸς αὐτῶν γίγνεται, χωρὶς τοῦ λίπους ὀπτωμένων· τοὺς δ' ἀθλητὰς ἐν ἐλαίῳ τρίβειν τῶν γυμναστῶν φησόντων ἂν, ὅτι καὶ τοὺς προϋπάρχοντας κόπους λύει τοῦτο καὶ τοὺς μέλλοντας πραΰνει καὶ αὐτὴν τὴν τρίψιν ὁμαλὴν καὶ πραεῖαν τελέως ἀπεργάζεται καὶ πρὸς τὰς μελλούσας κινήσεις παρασκευάζει τὸ σῶμα. διὰ τὰ αὐτὰ δὲ ταῦτα καὶ οἱ παιδοτρίβαι τοὺς παῖδας ἀλείφειν ἐροῦσι καὶ πρὸ τῶν γυμνασίων καὶ μετὰ τὰ γυμνάσια. διὰ τί μέντοι τὸ ἔλαιον ἴαμα κόπων ἐστὶν, οὐκ ἔτι οὔτε γυμναστὴς οὔτε παιδοτρίβης οὔτ' ἰατρὸς ἐμπειρικὸς ἐπίσταται. οὐ μὴν οὐδ' ὅτι μὴ γινώσκουσιν ἀφίστανται τῶν ἐναργῶς φαινομένων. οὐδὲ γὰρ διὰ τί
11.477 λευκὸς μὲν ἐλλέβορος ἄνω καθαίρει, μέλας δὲ κάτω γινώσκοντες, οὐδὲ διὰ τί κνίκος μὲν φλέγματος ἀγωγόν ἐστιν, ἐπίθυμον δὲ μελάνων οὐκ εἰδότες, ὅμως χρῶνται τοῖς φαρμάκοις εἰς ἅπερ ἐδίδαξεν ἡ πεῖρα καὶ

θεραπεύουσι τοὺς δεομένους καὶ πιστεύουσι τοῖς ἐναργῶς φαινομένοις καὶ καταγελῶσι τῶν τῷ λόγῳ τἀναντία κατασκευαζόντων.

Ἀλλ᾽ Ἀρχίδαμος μὲν πρὸς τῷ καταφρονεῖν ἐν πολλοῖς τῶν ἐναργῶς φαινομένων, ἔτι μοι δοκεῖ καὶ ταύτῃ δικαίως ἂν ψέγεσθαι. λέγει μὲν γὰρ ἀμείνω τὴν ξηρὰν τρίψιν εἶναι τῆς μετ᾽ ἐλαίου, διότι τὸ σῶμα σκληρότερόν τε καὶ ξηρότερον τοῖς ἀλειφομένοις ἐργάζεται, μαλακώτερον δὲ τοῖς ξηροῖς τριβομένοις γίγνεται. λέγει δ᾽ οὐδὲν ἧττον ἐν αὐτῷ τῷ λόγῳ τούτῳ προελθὼν βραχὺ καὶ τὰ ξύλα καὶ τὰ δέρματα καὶ τὰ ἄλλα τὰ μετ᾽ ἐλαίου τριβόμενα διαδιδόναι μέχρι τοῦ βάθους αὐτοῦ καὶ τοῦτο εἶναι μέγιστον μαρτύριον ὅτι κᾀν τοῖς ἡμετέροις σώμασιν εἴσω χωροῦν ἐμπλάττει τε τοὺς πόρους καὶ κωλύει τὰς τῶν ὑγρῶν ἐκροάς. κᾀγὼ μὲν οὐκ οἶδα πῶς τάδε συμφωνεῖ. εἰ γὰρ τοὔλαιον κωλύει τὰς τῶν
11.478 ὑγρῶν ἐκροὰς, οὐκ ἂν δήπου λέγοιτο ξηραίνειν, ὥστε μάτην ὡς ξηραῖνον αὐτὸ κατὰ τὰς τρίψεις φυλάττεται. σφάλλεσθαι δέ μοι δοκεῖ κᾀν τῷ τοῖς ἐψομένοις ἐν ἐλαίῳ παραπλησίως διατίθεσθαι νομίζειν τοὺς ἐν αὐτῷ τριβομένους. οὐ γὰρ δὴ ταῦτά γέ φησι ποιεῖν θερμὸν, ἢ ψυχρὸν, ἢ εὔκρατον, ἢ χλιαρὸν, ἢ ζέον ἔλαιον, ὥσπερ οὐδὲ τὸ ὕδωρ αὐτό. φαίνεται γὰρ καὶ τοῦτο ψυχρὸν μὲν εἴπερ προσφέροιτο, πυκνοῦν καὶ πιλοῦν καὶ συστέλλον καὶ σφίγγον τὸ ἀποκρινόμενον, ὥσπερ εἰ καὶ ζέον ἐσχάτως, καῖον· εἰ δ᾽ εὔκρατόν τε καὶ συμμέτρως θερμὸν προσενεχθείη, χαλῶν καὶ ἀραιοῦν καὶ χέον καὶ διαφοροῦν. εἰ δὲ μήτε ψυχρὸν ἐπισήμως εἴη μήτε θερμὸν, ἀλλ᾽ οἷον τὸ λεγόμενον ὑπὸ τῶν πολλῶν κρηναῖον, οὐδὲν μὲν τῶν εἰρημένων ποιεῖν τηνικαῦτα, διαδείκνυσθαι δὲ τὴν οἰκείαν ἑαυτοῦ δύναμιν. οὕτως οὖν καὶ τοὔλαιον εἴ τις ἐξετάζειν ἐθέλοι, πάσης ἐπικτήτου ψύξεώς τε καὶ θερμότητος ἐλεύθερον ἐργασάμενος αὐτὸ πρότερον, οὕτω τὴν βάσανον ποιείσθω. τὸ μὲν γὰρ ἄκρως ψυχρὸν οὐ κατὰ τὴν ἑαυτοῦ μόνον ἔτι δύναμιν, ἀλλὰ καὶ διὰ τὴν τῆς ὀθνείας
11.479 ποιότητος ἐπικράτησιν ἐνεργήσει τι περὶ τοῖς πλησιάζουσιν. οὕτως δὲ καὶ τὸ θερμὸν ἱκανῶς. εἰ δ᾽ ἀμφοτέρων ἔξω καταστήσας αὐτὸ βασανίζειν ἐθέλοις, ἐξεύροις ἂν οὕτως μόνως τὴν οἰκείαν ἐλαίου δύναμιν. ὥσθ᾽ ὅτε μὲν ἐλαίῳ συνήθως τρίβεταί τις, ὥσπερ οἱ γυμναστικοὶ πάντες, ἐν ἐλαίῳ μόνῳ τρίβεται, πάσης ἄνωθεν τῆς ποιότητος ἔξωθεν. ὅταν δ᾽ ἤτοι ζέον ἢ θερμὸν ἱκανῶς ἐργασάμενος, ἢ καὶ ψυχρὸν ἐσχάτως αὐτὸ, χρῷτο

τηνικαῦτα, σύνθετον ἀνάγκη γίνεσθαι τὴν ἐνέργειαν ἔκ τε τῆς οἰκείας ἐλαίου δυνάμεως καὶ τῆς ἐπικτήτου ποιότητος. καὶ πολλάκις δὲ κατακρύπτεσθαι τελέως ἀναγκαῖόν ἐστιν τὴν οἰκείαν δύναμιν ἑκάστῳ τῶν φαρμάκων, ὅταν ἰσχυρὰν πάνυ προσλάβῃ τὴν ἔξωθεν ποιότητα. τί τοίνυν ὅμοιον ἢ ἐψεῖν ἐν ἐλαίῳ ζέοντι βοτάνας, ἢ τὰ τῶν γυμναζομένων ἀνατρίβειν σώματα; μάλιστα μὲν γὰρ, ὡς καὶ πρόσθεν ἐπιδέδεικται, φεύγειν χρὴ τὰς ἀπὸ τῶν ἔξωθεν πίστεις, ἔχοντάς γε τὴν οἰκείαν ἑκάστῳ προσφέρειν πεῖραν. εἰ δ' ἄρα ποτὲ καὶ τοῦτο πράττειν ἐθελήσειέ τις, ἀλλ' ὅμοιά γε παραβάλλειν πειρᾶσθαι, καθάπερ ἐπὶ τῶν βυρσῶν ἐποίησεν καὶ
11.480 τῶν ἱμάντων. οὔτε γὰρ προθερμήνας ἔλαιον οὔτ' ἐν χιόνι προψύξας οὐδεὶς, ἀλλὰ τὸ ἐπιτυχὸν ἕκαστος λαμβάνων ἱμάντας ἀνατρίβει καὶ βύρσας, ὥσπερ, οἶμαι, καὶ τοὺς παῖδας οἱ παιδοτρίβαι, κατὰ τὸ ἐπιτυχὸν ἔλαιον ἀνατρίβουσιν, οὔτε προθερμήναντες ἐπὶ πυρὸς οὔτε προψύξαντες ἐπὶ χιόνος. ἐπεί τοι καὶ ἡμεῖς οὐκ ὀλιγάκις ἐγκαιομένην κεφαλὴν ἐλαίῳ πάνυ ψυχρῷ καταντλήσαντες ἐνεψύξαμεν. εἰ δὲ μηδ' ἁλῶν ἔχοι τοὔλαιον, ἔτι καὶ μᾶλλον ἐμψύξει. εἰ δὲ καὶ ὠμοτριβὲς εἴη, πολὺ δὴ καὶ μᾶλλον ἔτι.

Σκευάζομεν δὲ καὶ τοῦτο παραπλησίως τῷ ὕδατι θερμήναντες γὰρ αὐτὸ πρότερον, οὕτως ἐνιστῶμεν ἀκραιφνεῖ ψυχρῷ. εἰ δὲ καὶ κρουνὸς ὑπερκείμενος ἐπ' αὐτῷ καταράττων εἴη, προεστεγνωμένου δηλονότι τοῦ περιέχοντος ἀγγείου τοὔλαιον, ἔτι καὶ μᾶλλον ἂν οὕτω ψυχρότερον ἐργασθείη. ψυχρὸν δ' ἱκανῶς γίνεται, κἀπειδὰν προθερμανθὲν ἐν φρέατι κρεμασθὲν ψαῦον τοῦ ὕδατος. γίγνεται μὲν γὰρ καὶ τὸ μὴ ψαῦον ψυχρὸν, ἀλλ' ἧττον. αἱ μὲν δὴ τοιαῦται παρασκευαὶ ψυχρὸν ἀποδεικνύουσι τοὔλαιον, αἱ δ' ἐναντίαι θερμόν. χρώμεθα δὲ κἀκείναις, ἐπὶ τῶν
11.481 κατεψυγμένων σωμάτων, εἰς δεξαμενὴν ἐμβιβάζοντες ἐλαίου θερμοῦ τοὺς ἀπονεναρκωμένους τι μέρος, ἢ τρομώδεις, ἢ σπασμώδεις, ἢ παλμώδεις, ἢ ἀκινήτους, ἢ ἀναισθήτους, ἢ δυσαισθήτους, ἤ τι τοιοῦτον ἕτερον πάσχοντας. εἴ τις τοίνυν ἐξ ἁπάσης χρήσεως ἀποφαίνοιτο περὶ τῆς τῶν φαρμάκων δυνάμεως, οὐκ ἂν φθάνοι καὶ θερμαντικὸν ἡμῶν καὶ ψυκτικὸν οἰόμενος εἶναι τοὔλαιον, ὑγραντικόν τε καὶ ξηραντικὸν, ὥσπερ καὶ ὁ τοῦ Διοκλέους Ἀρχίδαμος, εἰ καὶ μὴ παρακολουθεῖ ταῖς ἐναντιολογίαις. ὅταν μὲν γὰρ ξηραίνεσθαι καὶ κραῦρα γίνεσθαι λέγῃ τὰ

ἐν τῷ ἐλαίῳ ἑψόμενα, ξηραντικήν τινα καὶ διαφορητικὴν ἐπιδείκνυσιν αὐτοῦ τὴν δύναμιν· ὅταν δ’ εἴσω τῶν βυρσῶν δύεσθαι καὶ τοὺς ἡμετέρους ἐμπλάττειν πόρους καὶ κωλύειν τὰς φυσικὰς τῶν ὑγρῶν ἐκροάς, ἐναντιωτάτην δήπου πάλιν ἐκ τούτων ἐπιδείκνυσι τὴν δύναμιν αὐτοῦ τοῖς διαφοροῦσί τε καὶ ξηραίνουσιν. ἀλλ’ ἐν τούτοις μὲν ἔτι τὰ γοῦν φαινόμενα λέγων οὐκ ὀρθῶς ὑπὲρ αὐτῶν συλλογίζεται. κατὰ δὲ τὸν περὶ τῆς δήξεως αὐτοῦ λόγον οὐδὲ ταῦτα διέρχεται πάντα. τὸ μὲν γὰρ τοὺς
11.482 ὀφθαλμοὺς δάκνειν καὶ κερχνώδη τὴν φάρυγγα ποιεῖν καὶ καταξύειν τὴν γαστέρα καὶ τὰς διαχωρήσεις αἱματώδεις ἐπιφέρειν, ἱκανὰ μαρτύρια τοῦ δακνώδη δύναμιν ὑπάρχειν αὐτῷ. τὸ δὲ καὶ τοῖς ἕλκεσιν ἀνώδυνον εἶναι καὶ τὰς τῆς γαστρὸς δήξεις, ἐπιβρεχόμενόν τε καὶ ἐνιέμενον πάντως ἰᾶσθαι καὶ τοὺς ἀπὸ τῶν ὀδαξησμῶν ἐρεθισμοὺς πραΰνειν, οὐ σμικρὰ πάλιν οὐδ’ αὐτὰ τῆς ἐναντίας αὐτοῦ δυνάμεως γνωρίσματα, παραλέλειπται τελέως. εἰ δ’ ἀμφοτέρων λεχθέντων ἐφεξῆς ἐθέλοι τις συλλογίσασθαι δυοῖν θάτερον, ἢ ὡς ἐμπειρικὸς ἐν τῷ πρός τι φήσει τὴν δύναμιν ἑκάστου τῶν φαρμάκων ἐξ ἐμπειρίας γινώσκειν, αὐτοῦ δὲ καθ’ ἑαυτὸ τὴν οἰκείαν φύσιν ἀγνοεῖν, ἢ ὡς λογικὸς τὰς ἐναντίας δυνάμεις ὑπάργειν ταὐτῷ φαρμάκῳ, δακνώδη τε καὶ πραϋντικὴν, εἶτ’ οἶμαι μεγίστην ἀπορίαν ἕξει τὴν αἰτίαν ἀποδιδοὺς τοῦ ποτὲ μὲν τὴν ἑτέραν αὐτῶν ἐνεργεῖν αἰσθητῶς, ποτὲ δὲ τὴν ἑτέραν, ἢ ἀπολωλυίας, ἢ μὴ σαφῶς γε φαινομένης τῆς ἑτέρας. εἰσὶ δὲ τῶν τοιούτων ἁπασῶν ἀποριῶν αἱ λύσεις, εἰ μὲν ὡς φυσικὰ προβλήματα προβάλλοιντο, παγχάλεποί τινες, εἰ δ’ ὡς πρὸς τὴν χρείαν τῆς τέχνης ἀναφέροιντο, πείρας μὲν
11.483 πολλῆς, ἐπιλογισμῶν δὲ οὐ πολλῶν μὲν, ἀκριβῶν δὲ καὶ διωρισμένων δεόμεναι. πρῶτον μὲν γὰρ, εἰ πᾶν ἔλαιον τοῖς ὀφθαλμοῖς δακνῶδές ἐστιν ἢ μὴ τῇ πείρᾳ διορίσασθαι βέλτιον, οὐκ αὐτοσχεδιάζειν, ὥσπερ ῥήτορας ἐπιχειροῦντας εἰς ἑκάτερον. εἶθ’ ἑξῆς εἰ πᾶν ὁμοίως κερχνῶδες, ἢ γαστρὸς ὑπαγωγὸν ἢ καταξύον αὐτὴν, ὡς αἱματώδεις ἐνίοτε κινεῖν ἐκκρίσεις, ἢ τὸ μέν τι ποιεῖ τῶν ἐλαίων ταῦτα, τὸ δ’ οὐ ποιεῖ, καὶ τὸ μὲν μᾶλλον, τὸ δ’ ἧττον. ἐλαίου δὲ διαφορὰς λέγω νῦν οὐχ ὡς ἄν τις ὑπονοήσῃ τὰς ἑτερογενεῖς, οἷον τοῦ κικίνου τε καὶ ῥαφανίνου καὶ καρυΐνου καὶ βαλανίνου καὶ τῶν ὁμοίων. εἰδέναι μὲν γὰρ χρὴ καὶ τὰς τούτων δυνάμεις τὸν ἰατρόν. ἀλλ’ οὐκ ἔν γε τῷ παρόντι προσήκει

μνημονεύειν αὐτῶν. ἀρκεῖ γὰρ, οἶμαι, τήν γε πρώτην αὐτὸ τὸ κυριώτατον καὶ μάλιστα τὸ ὑπὸ πάντων ἀνθρώπων ὀνομαζόμενον ἔλαιον ἐπισκέψασθαι. καὶ γὰρ ὁ καρπὸς ἐξ οὗ γίγνεται τοῦτο, μόνος τῶν ἄλλων
11.484 ἐλαία καὶ τὸ δένδρον ἐλαία προσαγορεύεται. καὶ τοῦτο μὲν ἔλαιον ἁπλῶς γε καὶ πρώτως ὀνομάζεται, τὰ δ' ἄλλα πάντα κατὰ μεταφοράν τινα καὶ κατάχρησιν.

Αὐτοῦ δή φημι τοῦ κυρίως προσαγορευομένου ἐλαίου, περὶ οὗ τὸν σύμπαντα λόγον ἐν τῷ παρόντι ποιούμεθα, πλείους εἶναι τὰς διαφορὰς κατὰ μὲν τὴν ἡλικίαν, ὅταν ἤτοι πρόσφατόν ἐστιν καὶ οἷον γλεῦκος, ἢ ἀκμάζον, ἢ παλαιὸν ὑπάρχει· κατὰ δὲ τὸν τρόπον τῆς σκευασίας, ὅταν ἤτοι ψιλὸν ᾖ καὶ ἁπλοῦν καὶ μόνον, ἢ μεθ' ἁλῶν γεγονός· κατὰ δὲ τὴν ἐν αὐτῷ τῷ καρπῷ διαφορὰν, ὅταν ἤτοι πέπειρος, ἢ ὠμὸς ὑπάρχῃ· κατὰ δὲ τὴν ἐξ ἐπιτεχνήσεως ἀλλοίωσιν, ὅταν ἤτοι φυλάττηται τοιοῦτον, οἷον ἐξ ἀρχῆς ἔτυχε σκευασθὲν ἢ ἐλευκάνθη. γέγραπται δὲ ὑπὲρ τῆς λευκάνσεως αὐτοῦ καὶ ἄλλοις μὲν οὐκ ὀλίγοις, εἰρήσεται δὲ καὶ πρὸς ἡμῶν ἐν τοῖς ἐφεξῆς. τούτων ἁπάντων τῶν ἐλαίων αὐτὸς ἐγὼ ἐσπούδασα πειραθῆναι τῆς δυνάμεως. καὶ τί μὲν ἐφ' ἑκάστῳ ἐφώρασα μετὰ ταῦτα διηγήσομαι· νυνὶ δὲ τέλος ἐπιθεῖναι βούλομαι πρῶτον οἷς ἐνεστησάμην. οὐκ ὀρθῶς
11.485 γὰρ δοκοῦσιν οἱ πλεῖστοι τῶν ἰατρῶν οὔτε πειραθῆναι φαρμάκων οὔτε συλλογίζεσθαι περὶ τῆς δυνάμεως αὐτῶν.

Πειραθῆναι μὲν γὰρ χρὴ μόνων τῶν ἀμίκτων καὶ ἔξω πάσης ἐπικτήτου ποιότητος. ἐπὶ μὲν γὰρ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος πρῶτον, ἐφεξῆς δὲ κἀπὶ τῶν δυσκράτων, εἶθ' οὕτως ἐπὶ τῶν ἁπλῶν νοσημάτων, ὡς ἔν τε τῷ πρὸ τούτου λόγῳ κἀν τῷ τρίτῳ περὶ κράσεως διῄρηται, συλλογίζεσθαι δὲ τὸ κατὰ συμβεβηκὸς ἀεὶ διορίζοντας τοῦ πρώτως τε καὶ καθ' αὐτό.

Σφάλλονται δ' ἔνιοι τῶν ἰατρῶν οὐ περὶ ταῦτα μόνον, ἀλλὰ κἀν ταῖς περὶ τῶν παθημάτων δόξαις. αὐτίκα τοὔλαιον, ὅτι μὲν ἴαμα κόπων ἐστὶν ἅπαντες σχεδὸν ὁμολογοῦσιν. ὁποῖον δέ τι πάθος ὁ κόπος ἐστὶν, οὐκέτι ὁμοδοξοῦσιν. ὁ μὲν γάρ τις ξηρότητα τῶν ἄρθρων εἶναί φησιν, ἐξικμασθέντων ἐν ταῖς κινήσεσιν, ὁ δέ τις καὶ τῶν μυῶν προστίθησιν, ἕτερος δέ τις ἔμπαλιν τούτοις ὑγρότητα πολλὴν καὶ τάσιν καὶ θερμασίαν,

ἐπελθόντος γε ῥεύματος τοῖς σφοδρῶς κινηθεῖσι μέρεσιν. ἄλλος δὲ οὐ
11.486 πλῆθος ὑγρῶν, ἀλλὰ ποιότητα μόνην αἰτιᾶται, συντήξεις τινὰς φάμενος ἐν ταῖς ἀμετροτέραις κινήσεσιν γίγνεσθαι πιμελῆς τε ἅμα καὶ σαρκὸς ἁπαλῆς, ὧν μέρος μέν τι διαπνεῖσθαι εἰς τοὐκτὸς, μέρος δ' ἴσχεσθαι κατὰ τὸ σῶμα, καὶ τοῦτο δριμὺ καὶ δακνῶδες ὑπάρχον, τὴν οἷον ἐλαιώδη διάθεσιν ἐργάζεσθοι. ὥστ' εἰ καὶ τὸ θεραπεύεσθαι τοὺς κόπους ὑπὸ τοῦ ἐλαίου συμφωνεῖται, τό γε τῆς διαθέσεως τοῦ σώματος ἀμφισβητούμενον οὐδὲν ἐᾷ συλλογίζεσθαι βέβαιον ὑπὲρ ἐλαίου δυνάμεως. οὐ μόνον δὲ ἐπὶ κόπου τοῦτο συμβέβηκεν, ἀλλὰ κἄπειδὰν ἀλγήματος ἕνεκεν, ἢ δήξεως, ἢ φλεγμονῆς ἔλαιον ποτίζωμεν, ἢ δι' ἕδρας ἐγχέομεν, ἢ καταντλῶμεν. ἐπὶ μὲν γὰρ τῶν φλεγμαινόντων ἑλκῶν οὐ μόνον, ἀλλὰ μεθ' ὕδατος αὐτὸ συμμέτρως θερμοῦ καταχέομεν, ὥσπερ ἐν τοῖς κόποις ἅμα τοῖς διὰ τῶν γλυκέων ὑδάτων λουτροῖς. ὁμολογεῖται δ' οὐδ' ἐπὶ τῆς φλεγμονῆς, ἡ διάθεσις ὁποία τίς ἐστιν. ἐνιέντες δὲ διὰ τῆς ἕδρας, ἢ ποτίζοντες, οὐδ' οὖν οὐδὲ τότε γινώσκομεν ἐναργῶς ὁποίῳ τινὶ σώματι προσάγομεν αὐτὸ, πότερα φλέγματος, ἢ χολῆς, ἤ τινων ἄλλων περιττωμάτων μεστῷ. δῆλον
11.487 γὰρ ὡς οὐχ ὁμοίως διαθήσει τὸν ἄνθρωπον, ἐπειδὰν φλέγματος γλίσχρον μεστὸν εὕρῃ τὸ ἔντερον ἅπαν ἅμα τῇ γαστρὶ, κἄπειδὰν χολωδῶν περιττωμάτων, ἤ τινων ἄλλων δριμέων χυμῶν, ἢ κόπρου πολλῆς, ἢ τούτων μὲν μηδενὸς, καθαρᾶς δ' ἀκριβῶς ἐπιτύχῃ τῆς τε γαστρὸς ἁπάσης καὶ τῶν ἐντέρων, ἢ πρὸς τῷ καθαρὸν εἶναι τοῦτο καὶ τετραχυσμένον ὑπάρχει.

Ἀμελῶς οὖν πάνυ καὶ ῥᾳθύμως ὑπὲρ ἁπάντων τούτων οἱ πολλοὶ τῶν ἰατρῶν συλλογίζονται, μηδ' ὅπως ἔχοντι τῷ ἀνθρώπῳ δίδοται τοὔλαιον εἰπόντες, ἀλλὰ μηδ' ὁποῖον αὐτό· κἄπειτα φάσκοντες οἱ μὲν δάκνειν καὶ ξύειν πάντως τὰ ἐντὸς, οἱ δὲ καὶ εἴ τις ἂν εἴη δῆξις ἤδη προϋπάρχουσα, καὶ ταύτην πραΰνειν. οὐ γὰρ σμικρὸν δήπου διήνεγκεν ἢ τὸ παντάπασιν ἄναλον ὀνομαζόμενόν τε καὶ ὄντως ὑπάρχον ἔλαιον εἰς φλεγματώδη κοιλίαν ἐμβαλεῖν, ἢ τὸ πλείστων ἁλῶν μετέχον εἰς καθαράν. ἄμφω μὲν γὰρ λαπάξει τὴν γαστέρα, διαφερούσαις μέντοι ταῖς δυνάμεσιν. τὸ μὲν
11.488 γὰρ ἄναλον ἐν φλεγματώδει διὰ τὸν ὄλισθον ὁμοίως μαλάχαις τε καὶ βλίτοις καὶ μόροις· τὸ δὲ ἡλισμένον ἐν καθαρᾷ διὰ τὴν δριμύτητα παραπλησίως ἅλμῃ καὶ θαλάττῃ. καὶ δὴ καὶ ξύσει μὲν τοῦτο, θάτερον δ'

οὐ ξύσει. μὴ τοίνυν μήτε ξύειν ἁπλῶς λέγομεν τοὔλαιον πάντως τἀντὸς, ἢ διαχωρήματα ποιεῖν αἱματώδη, μήτε πραΰνειν δήξεις, ἀλλὰ τὸ μὲν ἁλῶδες ἐν καθαρᾷ ξύειν, τὸ δ' ἄναλον ἐν φλεγματώδει μὴ ξύειν.

Ἐνίοτε δὲ κατὰ συμβεβηκὸς ἰάσαιτ' ἂν δήξεις τὸ ἁλμῶδες, ὥσπερ καὶ τὸ μελίκρατον καὶ ἅλμη καὶ γάλακτος ὀρρός. συνεξάγονται γὰρ σὺν αὐτοῖς ἐνίοτε ταῦτα τὸν τὴν δῆξιν ἐργαζόμενον χυμὸν, ἰάματά τε γίγνεται δήξεως ὁμοίως τοῖς ἄλλοις ἅπασιν, τοῖς ἀποπλύνουσί τε καὶ ῥύπτουσιν. ἀλλὰ μετὰ τὴν ἔνεσιν οὐχ ὅπως παύει τὰ τοιαῦτα φάρμακα τὴν δῆξιν εὐθὺς, ἀλλὰ καὶ παροξύνει. τῷ γὰρ τῆς κενώσεως λόγῳ τὴν ἴασιν, οὐ τῷ τῆς ἐπικράσεως ἐργάζεται. κηρωτὴ μέντοι πολλάκις ἐνεθεῖσα διὰ ῥοδίνου καὶ στέατος ἢ πιμελῆς, ἐν τῷ παραχρῆμα τὰς δήξεις ἰάσατο τῷ τῆς
11.489 ἐπικράσεως λόγῳ. καὶ μὲν δὴ καὶ ἔλαιον αὐτὸ μόνον γλυκύτατον τοῦτο πολλάκις ἔδρασεν, ὥσπερ οὖν καὶ στέαρ τράγου, ἢ χόνδρου χυλὸς, ἢ κηρωτὴ δι' ἐλαίου γλυκέος. ἡμεῖς δὲ καὶ τοῖς διά τινα ψύξιν ἀλγοῦσι τἀντὸς ἐνιέντες ἐλαίου θερμοῦ παραχρῆμα πολλάκις ἀνωδύνους εἰργασάμεθα. καὶ εἰ μείζονα δὲ τὴν ψύξιν εἶναι στοχαζόμεθα, προσεπιβάλλομεν ἄνηθον, θερμαίνοντες τοὔλαιον, εἰ δ' ἔτι μείζονα, καὶ πήγανον καὶ ἄσφαλτον. τοιαῦτα οὖν ἅπαντα τοῖς πολλοῖς τῶν ἰατρῶν οὐκ εἰδόσιν οὔτε τὴν ὑπὸ δυσκρασίας γινομένην ὀδύνην διορίσασθαι τῆς ὑπὸ κακοχυμίας, οὐδ' ὅτι τῶν ἐνιεμένων φαρμάκων ὀδύνης ἕνεκα τὸ μὲν τῷ θερμαίνειν τὸ κατεψυγμένον μόριον ἰᾶται, τὸ δὲ τῷ κενοῦν τὸν δάκνοντα χυμὸν, τὸ δὲ τῷ κατακεραννύναι. πολλάκις δὲ καὶ μικταὶ γίνονται διαθέσεις ἐκ δυσκρασίας τε ἅμα καὶ δήξεως, ἐφ' ὧν ἡμεῖς εἰώθαμεν ἀνήθινον ἢ πηγάνινον ἔλαιον ἐγχεῖν ἐναποτήξαντες αὐτῷ
11.490 χήνειον στέαρ· εἰ δὲ μὴ παρείη τοῦτο, τὸ γοῦν ὀρνίθειον· εἰ δὲ μηδὲ τοῦτο, τῶν ἄλλων τι. μηδενὸς δὲ παρόντος τούτων ἀδήκτου μίγνυμεν κηροῦ, καλῶ δ' οὕτως τὸν πεπλυμμένον, ἢ καὶ νὴ Δία τοὔλαιον αὐτὸ τὸ λελευκασμένον ἐγχεόμενον. ἀνάλογον γάρ ἐστιν ἀδήκτῳ κηρῷ καὶ τοῦτο. προπετὴς οὖν ἀπόφασίς ἐστι καὶ ἀδιόριστος ἥ τε τῶν δακνῶδες ἐν παντὶ καιρῷ πᾶν ἔλαιον ἥ τε τῶν παρηγορικὸν ἀποφηναμένων. τὸ μὲν γὰρ ἁλμῶδες δακνῶδες, τὸ δ' ἄναλον καὶ γλυκὺ παρηγορικὸν ὅσον ἐφ' ἑαυτῷ. δόξειε γὰρ ἄν ποτε καὶ τοῦτο παρὰ τὰς διαθέσεις αἷς προσφέρεται μηκέτι εἶναι τοιοῦτον. ἕκαστον γὰρ τῶν ἐπικεραννύντων φαρμάκων

ἰσχυρότερον γιγνόμενον τῶν δακνόντων χυμῶν ἀμβλύνει τὴν δῆξιν αὐτῶν. ἀλλ᾽ ἂν ἰσχυροτέραις ταῖς δυνάμεσιν, ἢ πολλαῖς ὀλίγον ἀναμιχθῇ, συνδιαφθείρεταί τε καὶ τρέφει τὴν κακοχυμίαν, ὅθεν καὶ κενοῦν δεῖ παραχρῆμα τοὺς ἐκ τῶν ἐπικεραστικῶν παροξυνομένους, ὡς ἂν πολλῆς καὶ δυσκινήτου διαφθορᾶς πεπληρωμένους.

11.491 Οὕτως οὖν καὶ τὸ γάλα πολλάκις ἅμα τῷ προσενεχθῆναι τοῖς μὲν ὀξύνεται, τοῖς δὲ κνισοῦται, πρὶν καλῶς πεφθὲν ἐπικεράσαι τὴν διαφθοράν. καὶ χρὴ τούτων πρότερον ἐκκενώσαντας τὸ πολὺ τῆς κακοχυμίας οὕτω προσφέρειν καὶ χόνδρον καὶ πτισάνην καὶ γάλα καὶ τἆλλα ὅσα καλῶς πεφθέντα πρὸς εὐχυμίαν συντελεῖ, μὴ μέντοι μήτε τὰς χείρους μήτε τὰς ἐναντίας ἔχειν δυνάμεις ὅσον ἐπὶ τούτῳ νομίζειν ἅπαντα μήτε παραλιπεῖν ἐν τοῖς λόγοις ἑκόντα τῶν γιγνομένων θάτερα, καθάπερ Ἀρχίδαμος ἐπ᾽ ἐλαίου τῶν μὲν δακνομένων ὀφθαλμῶν ἐμνημόνευσεν καὶ τῆς κερχνώδους φάρυγγος καὶ τῆς ξυομένης γαστρὸς, ὅτι δὲ πολλάκις καὶ στόμαχον ἰσχυρῶς δακνόμενον ἔλαιον γλυκὺ ποθὲν ἰάσατο παραχρῆμα καὶ τὰς καθ᾽ ὅλην τὴν γαστέρα δήξεις ἐνεθὲν ἐπράυνε καὶ τὰς ἀπὸ θαψίας τε καὶ ἀκαλήφης καὶ σκίλλης κατὰ τὸ δέρμα γιγνομένας ἐπαλειφθὲν ἔπαυσεν, οὐκ ἔτ᾽ ἐμνημόνευσεν. ἐγὼ δ᾽ οὐκ ἀμφισβητῶ μὲν οὐδ᾽ αὐτὸς, οὐδ᾽ ἀπιστῶ τοῖς φάσκουσιν ἐν ἅπασι σχεδὸν τοῖς οὖσι πολλὰς καὶ διαφερούσας περιέχεσθαι δυνάμεις, ἀλλὰ καὶ
11.492 δείξειν ἐπαγγέλλομαι τοῦτο κατὰ τὸν ἑξῆς λόγον. οὐ μὴν τούτου γε ἕνεκα καὶ τὴν ἐν ἑκάστῳ κρατοῦσαν ἄγνωστον εἶναί φημι. διοριζομένῳ δέ σοι τὸ καθ᾽ αὑτὸ τοῦ κατὰ συμβεβηκὸς ἐπιγνωσθήσεται σαφῶς ἅπαντα. θέασαι γὰρ ὡδί πως ἑκάτερον ἐπὶ παραδειγμάτων, ὑπόδειγμα θέμενος ἐν τῷ λόγῳ δύο τινὰς ἀνθρώπους δακνομένους μὲν ὁμοίως τὸ τῆς γαστρὸς στόμα, προσφερομένους δὲ χυλὸν πτισάνης ἢ χόνδρον ἢ ἄρτον πλυτὸν, εἶτα τῷ μὲν ἑτέρῳ παυομένην τὴν δῆξιν, αὐξανομένην δὲ θατέρῳ, πότερον οὖν ὅσον ἐφ᾽ ἑαυτῷ δακνώδης ἐστὶν ὁ χυλὸς τῆς πτισάνης, ἢ ὁ χόνδρος, ἢ ὁ ἄρτος, κατὰ δέ τι συμβεβηκὸς ἐπὶ θατέρου τῶν ἀνθρώπων οὐχ ὅπως ηὔξησεν, ἀλλὰ παρηγόρησεν τὴν δῆξιν; ἢ παρηγόρησεν μὲν ὅσον ἐφ᾽ ἑαυτῷ, κατὰ δέ τι συμβεβηκὸς ἐπὶ θατέρου παρώξυνεν; ἐγὼ μὲν ἐπικεραστικὸν ὑπάρχοντα κατά γε τὴν ἑαυτοῦ φύσιν φημὶ τὸν χυλὸν τῆς πτισάνης, ἢ τὸν χόνδρον, ἢ τὸν ἄρτον, ἢ νὴ Δία τὸ

γάλα, παροξύνεσθαι δὲ θατέρῳ τῶν ἀνθρώπων τὴν δῆξιν, τῷ φθάσαι
11.493 νικηθῆναι πρὸς τῆς διαφθορᾶς. οὕτω δὲ καὶ τοὺς παλαιοὺς ἰατροὺς σχεδὸν ἅπαντας οἶδα γινώσκοντας, ὥσπερ γε καὶ τῶν νεωτέρων τοὺς ἀρίστους, εἴη δ' ἄν τις ἴσως ἐμὲ λανθάνων. οὐδὲν γὰρ ἀτόλμητόν ἐστιν ἐνίοις τῶν νεωτέρων ἰατρῶν, ὡς ἀποφῆναι τῇ μὲν αὐτοῦ φύσει τὰς διαφθορὰς αὐξάνειν τὸν χόνδρον, ἢ τὸν ἄρτον, ἢ τὴν πτισάνην, ἐπ' ἐνίων μέντοι κατά τι συμβεβηκὸς πραῦνειν. ἀλλ' ὁ μὲν ταῦτα λέγων οὐδεμίαν ἀπόδειξιν εἰπεῖν ἔχει τῆς ἀποφάσεως. ἡμεῖς δὲ λέγομεν ὡς εἴπερ ἡ πτισάνη φύσει κακόχυμος ἦν, οὔποτ' ἂν ἐπράυνε δήξεις. ἀλλὰ μὴν ὁρᾶται καὶ ἄνωθεν λαμβανομένη καὶ διὰ τῆς ἕδρας ἐνιεμένη πραῦνουσα πολλάκις, ᾧ δῆλον ὅτι κατὰ μὲν τὴν ἑαυτῆς φύσιν εὔχυμός ἐστιν. συνδιαφθειρομένη δ' ἐνίοτε τοῖς τὰς δήξεις ἐργαζομένοις χυμοῖς αὐξάνει τὸ σύμπτωμα.

Τάχ' οὖν ἔροιτό τις ἡμᾶς εἰ μηδὲν τῶν κακοχύμων ἰάσατό ποτε δῆξιν; ἐγὼ δὲ τοῦτο μὲν οἶδα οὐκ ὀλιγάκις γιγνόμενον, ἀλλ' οὐκ ἐπικεραννύντα φημὶ, ἀλλὰ τὸ δάκνον ἅμ' ἑαυτοῖς συνεξάγοντα τὰ τοιαῦτα τῶν
11.494 φαρμάκων ἰᾶσθαι τὰς δήξεις. καὶ διὰ τοῦτο παραχρῆμά τε καὶ μέχρι περ ἂν ἐκκενωθῇ δάκνειν τε τὸν ἄνθρωπον ἀπολιπεῖν τέ τινα τραχεῖαν αἴσθησιν ἐν τοῖς μέρεσιν, ἑτέρου φαρμάκου δεομένην, οὐ μὴν τά τε εὔχυμα καὶ γλυκύχυμα. καὶ γὰρ καὶ ἐν τῷ παραχρῆμα πραῦνει καὶ χωρὶς τοῦ κένωσιν ἐργάζεσθαι, καὶ τραχεῖαν οὐδεμίαν αἴσθησιν ἐπάγει, τοὐναντίον δ' ἅπαν αὐτὰ τῶν τραχειῶν ἐστιν αἰσθήσεων ἰατικά. τὸν γοῦν χόνδρον καὶ τὸ γάλα καὶ τὴν πτισάνην ἐπὶ τῶν τοιούτων διαθέσεων ἐσθίειν τε δίδομεν ἐνίεμέν τε διὰ τῆς ἕδρας, ἐπειδὰν ἤτοι διὰ μέλιτος, ἢ ἄλλου τινὸς τῶν τοιούτων ἀπορρύψωμεν τὸ λυποῦν. ἐν τούτῳ δὲ τῷ καιρῷ καὶ στέαρ ἡμῖν γίγνεται χρήσιμον καὶ κηρωτὴ γλυκεῖα καὶ ἔλαιον γλυκύ. λέγειν δέ με νόμιζε καὶ νῦν καὶ κατὰ τὸν ἑξῆς λόγον ἅπαντα γλυκέα καὶ χωρὶς ἁλῶν σκευαζόμενα καὶ τὰ πεπλυμμένα. τέσσαρσι τοίνυν γνωρίσμασιν ἔχων διορίσασθαι τὸ καθ' ἑαυτὸ τοῦ κατὰ συμβεβηκὸς πραϋντικοῦ, ῥᾳδίως ἐξευρήσεις ἑκάστου τῶν τοιούτων φαρμάκων τὴν δύναμιν. ἔστι δὲ τὰ τέσσαρα γνωρίσματα ταῦτα. πρῶτον μὲν τὸ παραχρῆμα πραῦνειν, ἢ μὴ, καὶ δεύτερον τὸ συνεκκενοῦσθαι τὰ
11.495 λυποῦντα, ἢ μὴ, καὶ τρίτον τὸ καταλιπεῖν τινα τραχύτητα περὶ τοῖς

σώμασιν, ἢ μὴ, καὶ τέταρτον, εἰ μὴ τοῖς οὕτως ἔχουσι χρηστὸν φαίνοιτο. τὸ μὲν γὰρ μήτε ἐν τῷ παραχρῆμα πραΰνειν τὰς δήξεις, ἀλλὰ μετὰ πλείονός γε σφοδρότητος ἐκκρινόμενον μήτε μένειν ἔνδον ἰώμενον, ἀπολεῖπόν τέ τινα περὶ τοῖς σώμασιν ἀνιαρὰν τραχύτητα, παροξῦνόν τε ταύτην εἰ προσαχθείη δεύτερον, ἀναβρωτικὸν μέν ἐστιν καὶ δακνῶδες τῇ φύσει, κατὰ συμβεβηκὸς δέ ποτε δήξεις ἰᾶται, τὸ δὲ κἀν τῷ παραχρῆμα πραϋντικὸν ἔκκρισίν τε μηδεμίαν ἐρεθίζον, ἀλλὰ μηδὲ τραχῦνον ἐν τῷ μένειν, ἴαμά τε τῶν τετραχυμένων γιγνόμενον αὐτὸ μὲν φύσει χρηστόν ἐστι, δακνῶδες δ’ ὑπὸ τῆς ἀλλοιούσης αὐτὸ καὶ διαφθειρούσης κακοχυμίας ἔστιν ὅτε γίγνεται. ταῦτ’ εἴρηταί μοι καὶ ἅμα τε τὸν καιρὸν ἢ τὸν τρόπον τῆς χρήσεως ἑκατέρου τοῦ γένους τῶν φαρμάκων ἅμα τε τὴν τῆς δυνάμεως εὕρεσιν ὁ λόγος ἐδίδαξεν, ἀπέδειξέ τε καὶ πτισάνης χυλὸν καὶ χόνδρον καὶ τράγον καὶ γάλα καὶ ἄρτον πλυτὸν ἐκ τῶν εὐχύμων
11.496 ὑπάρχοντα, καὶ μὲν δὴ καὶ πιμελὴν καὶ στέαρ, ἔλαιόν τε γλυκὺ καὶ κηρὸν γλυκὺν, ἐκ τῆς τῶν παρηγορικῶν ὄντα φύσεως. εἴη δ’ ἂν καὶ γλυκὺς κηρὸς ὁ τῇ φύσει τοιοῦτος, ὡς ἔνιοί γε πικροὶ γευομένοις εἰσὶ, καὶ ὁ πρὸς τῷ τοιοῦτος εἶναι καὶ πεπλυμμένος ἐν ὕδατι χρηστῷ.

Χρὴ δὲ πλύνειν οὐ κηρὸν μόνον, ἀλλὰ καὶ πίτταν καὶ ῥητίνην, ἔλαιόν τε καὶ πᾶν ὁτιοῦν ἄλλο τοιοῦτον τὸ μὴ κεραννύμενον ὕδατι προθερμαίνοντας συμμέτρως, εἶτα κατάρροντας εἰς ἀγγεῖον πλατὺ καὶ μέγα, πλῆθος ὕδατος ἔχον ἐν ἑαυτῷ καθαρωτάτου τε ἅμα καὶ ἀποιοτάτου. τούτῳ γὰρ ἐναποτίθεται τὸ πλυνόμενον ὅ τί περ ἂν εἴη τὴν ἑαυτοῦ δριμύτητα. χρὴ δὲ καὶ ἀνατρίβειν αὐτὸ καὶ κόπτειν καὶ θλᾶν καὶ μαλάττειν ταῖς χερσὶν ἱκανῶς, ἵνα πᾶν μόριον ὁμιλήσῃ τοῦ πλυνομένου φαρμάκου τῷ ὕδατι, καὶ τοῦτο ποιήσαντας ἀποχεῖν μὲν τὸ πρότερον ὕδωρ, αὖθις δὲ θερμαίνοντας τὸ πλυνόμενον εἰς ἕτερον ὕδωρ ἐμβάλλειν ὁμοίως καθαρὸν, ἀνακόπτειν δὲ χρὴ μέχρι πλείστου πάλιν, ἄχρις ἂν ἐναπόθηται τῷ ὕδατι τὴν ἑαυτοῦ ποιότητα. πάρεστι δέ σοι τοῦτο καὶ
11.497 γευομένῳ διαγινώσκειν, εἶτα καὶ τρίτον καὶ τέταρτον καὶ πολλάκις ἐφεξῆς τοῦτο ποιεῖν, ἄχρι περ ἂν μηκέτι μηδεμίαν ἐκ τοῦ πλυνομένου φαρμάκου ποιότητα δέχηται τὸ ὕδωρ. οὕτω μὲν οὖν ἅπαντα τὰ θερμαίνεσθαί τε καὶ χεῖσθαι δυνάμενα πλύνειν. εἰ δέ τι λιθῶδες εἴη καὶ σκληρὸν, ὡς ἡ καδμεία καὶ ἡ τοῦ χαλκοῦ λεπὶς, ὅ τε κεκαυμένος χαλκὸς,

ἀκριβῶς ἐκεῖνα καταθραύσαντας εἰς λεπτὰ τρίβειν ἐπιπλεῖστον ἐν ὕδατι πηγαίῳ τε καὶ καθαρωτάτῳ, πολλάκις ἀποχέοντας τὸ πρότερον, ἔστ᾽ ἂν μήτ᾽ ἐφίστηται μηδὲν, εἰ κατασταίη τὸ ὕδωρ, ἄποιόν τε τοῦ τριβομένου φαρμάκου γίγνηται, μέχρι δ᾽ ἂν ἥτοι τῆς ποιότητος αὐτοῦ τι φαίνοιτο γευομένοις, ἢ ἐφίστηταί τι μέχρι τοσοῦδε καὶ τρίβειν καὶ ἀποχεῖν. ἂν γὰρ οὕτω πλύνῃ τις ὁτιοῦν τῶν πλυθῆναι δυναμένων, ἄδηκτον γίγνεται. καὶ δὴ καὶ τοὔλαιον οὐκ ἄδηκτον μόνον, ἀλλὰ καὶ λευκότερον ἐν τῷδε φαίνεται γιγνόμενον. χρὴ δὲ μὴ ἀνακόπτειν ὁμοίως αὐτὸ πίττῃ καὶ κηρῷ καὶ ῥητίνῃ σφοδρῶς, ἵνα μὴ δύσλυτος ἡ πρὸς τὸ ὕδωρ αὐτοῦ γένηται μίξις, ἀλλ᾽ ἐασάντων ἀτρεμῆσαι ῥᾳδίως λαβεῖν ἐποχούμενον. εἰσὶ καὶ
11.498 ἕτεροι τρόποι λευκάνσεως ἐλαίου παρὰ τοῖς τά τε τῶν σκευασιῶν βιβλία γεγραφόσι καὶ τὰ περὶ τῆς ὕλης, ὥσπερ καὶ τὰ παρὰ τῷ Διοσκουρίδῃ κατὰ τὸ πρῶτον. ἀλλ᾽ ἐκείνων μὲν οἱ πλείους ἐκδαπανῶντες τὸ ὑδατῶδες καὶ τὸ πυρρὸν τοῦ ἐλαίου τὸ ὑπόλοιπον ἀποφαίνουσι λευκὸν, ὁ δὲ διὰ τῆς πλύσεως οἷον ἀπορρύπτων αὐτὸ καὶ ἀπομάττων.

Περὶ μὲν δὴ τῆς τῶν πλυτῶν φαρμάκων καὶ λευκαινομένων διαθέσεως καὶ αὖθις εἰρήσεται. ἐπὶ δὲ τὸ προκείμενον ἐπάνειμι. ἔλαιον εἰ μήτε τὸ καλούμενον ὀμφάκινον εἴη, στυπτικὸν γὰρ τοῦτό γε, μήτε μεθ᾽ ἁλῶν ἐσκευασμένον, ἀλλὰ μηδὲ πρόσφατόν τε καὶ οἷον ζέον ἔτι καὶ πρὸς τούτοις ἅπασιν ἐπιμελῶς εἴη πεπλυμμένον, οὔτε πινόμενον οὔτε ἐνιέμενον ἐργάσεται δῆξιν. εἰ δὲ κερχνῶδές ἐστι τῆς φάρυγγος, οὐδὲν ἂν εἴη τοῦτό γε πρὸς τὸ δακνῶδες ὑπάρχειν αὐτό. πᾶν μὲν γὰρ τὸ δάκνον καὶ δριμὺ καὶ κερχνῶδες, οὐ μὴν ἅπαν τὸ κερχνῶδες δάκνον καὶ δριμύ. μόνως γὰρ οὕτως ἂν ἀπεδείχθη τοὔλαιον δακνῶδες, εἰ πᾶν τὸ κερχνῶδες
11.499 ὡμολόγητο δακνῶδες ὑπάρχειν. ἥκει τοίνυν πάλιν ἐνταῦθα τὸ παρὰ τὴν ἀναστροφὴν τοῦ συνημμένου, σφάλματος μικρὸν τοῦτο καὶ φαῦλον. ἅπαν μὲν γὰρ ὡμολόγηται τὸ δάκνον εἶναι κερχνῶδες. ὡμολόγηται δὲ καὶ τοὔλαιον ὑπάρχειν κερχνῶδες. ἀλλ᾽ ἐκ τῶν ὑποκειμένων τούτων οὐ περαίνεται δακνῶδες εἶναι τοὔλαιον, οὔτε κατηγορικὰς οὔτε ὑποθετικὰς ἡμῶν ποιησάντων τὰς προτάσεις, τῷ μήτ᾽ ἐκ δύο καθόλου καταφατικῶν ἐν δευτέρῳ σχήματι περαίνεσθαί τι μήτε τὸ συνημμένον ἐξ ἀνάγκης ἀληθεύεσθαι. γενήσονται δ᾽ ἐν μὲν τῷ κατηγορικῷ συλλογισμῷ δύο προτάσεις αἵδε, πᾶν τὸ δάκνον κερχνῶδες, πᾶν ἔλαιον κερχνῶδες, ἐξ ὧν

ὁμολογηθέντων οὐδὲν περανθήσεται. τὴν δ' ὑποθετικὴν πρότασιν, ἣν οἱ περὶ τὸν Χρύσιππον ἀξίωμα συνημμένον ὀνομάζουσιν, οὐκ ἔχομεν ἀληθῆ λαβεῖν οὔτ' ἐξ αἰσθήσεως οὔτ' ἐξ ἀκολουθίας λογικῆς. οὐ μὲν γὰρ ἢ δι' αἰσθήσεως, ἢ ἀπ' αἰσθήσεως, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθελήσει, τὰ τοιαῦτα τῶν ἀξιωμάτων εἴληπται, πᾶν τὸ δακνῶδες καὶ κερχνῶδές ἐστι, καὶ εἴ τι δακνῶδες, τοῦτο καὶ κερχνῶδές ἐστιν, οὔτ' εἰ πᾶν τὸ δακνῶδες
11.500 καὶ κερχνῶδές ἐστιν, ἤδη καὶ τὸ κερχνῶδες ἅπαν ὑπάρχει δακνῶδες, οὔτε τῷ πᾶν εἴ τι δακνῶδές ἐστιν, τοῦτο καὶ κερχνῶδες ὑπάρχειν, ἕπεται τὸ πᾶν εἴ τι κερχνῶδές ἐστιν, καὶ δακνῶδες ὑπάρχειν, ἀλλὰ τὸ μὲν εἰ μὴ κερχνῶδες οὐδὲ δακνῶδες ἀληθές. ἀντιστρέφει γὰρ, οὐ μὴν εἴ τι κερχνῶδες, εὐθὺς καὶ δακνῶδες· ἀναστρέφει γὰρ τοῦτο. δέδεικται δ' ἐν ταῖς λογικαῖς μεθόδοις ὡς οἱ μὲν ἀντιστρέφοντες τοῖς ἀληθέσι λόγοις ἀληθεῖς εἰσιν, οἱ δὲ ἀναστρέφοντες οὐκέτι πάντως ἀληθεῖς. εἴπερ οὖν οὐκ ἐξ ἀνάγκης ἀληθές ἐστιν τὸ εἴ τι κερχνῶδές ἐστιν, τοῦτο εἶναι εὐθὺς καὶ δακνῶδες, οὐδ' ἂν τὸ ἔλαιον ἐκ τοῦ κερχνῶδες εἶναι καὶ δακνῶδες δεικνύοιτο. μόνως γὰρ ἂν εἴπερ ὡμολόγητο, πᾶν τὸ κερχνῶδες δακνῶδες ὑπάρχειν, ἀληθῶς ἂν εὑρέθη τὸ τοιοῦτον συνημμένον, εἰ κερχνῶδές ἐστι τὸ ἔλαιον, καὶ δακνῶδές ἐστιν, ἵνα ἕπηται τούτῳ τῷ λόγῳ προσλήψεως τοιᾶσδε γενομένης· ἀλλὰ μὴν κερχνῶδές ἐστι τὸ ἔλαιον, ἕπεται τὸ συμπέρασμα κατὰ τὸν πρῶτον ἀναπόδεικτον τοιοῦτον, δακνῶδες ἄρα
11.501 ἐστὶ τὸ ἔλαιον. ἀλλὰ γὰρ οὐχ οὕτως ἐπιχειρητέον ἦν αὐτοῖς, ὡς εἴ τι δακνῶδες, εὐθύς ἐστι τοῦτο καὶ κερχνῶδες, ἀλλ' ὅτι μόνα τὰ δακνώδη κερχνώδη· εἴη γὰρ ἂν οὕτω τὰ κερχνώδη πάντα δακνώδη. τοῦτο δ' αὐτὸ, τὸ μόνα τὰ δακνώδη κερχνώδη φαίνεσθαι, παρά τε τὴν αἴσθησιν εἴρηται. φαίνεται γὰρ καὶ τὰ λιπαρὰ κερχνώδη καὶ τὸ ζητούμενον ἑτοίμως εἴληπται, μήτ' ἐξ αἰσθήσεως μήτ' ἐξ ἀποδείξεως πιστωθέν. ἔτι τε πρὸς τούτοις ἀγνοούντων ἐστὶν ἀνθρώπων, ὁποία τις ἡ τοῦ κέρχνειν ἐστὶ διάθεσις, ἣν ἴσως ἄμεινον αὐτοῖς ἐξηγήσασθαι.

Συμβαίνει δὲ τὸ κέρχνειν ἀνωμαλίας τινὸς ἐν τῇ φάρυγγι συνισταμένης παρὰ φύσιν. εἰθισμένον γὰρ τὸ πνεῦμα διὰ καθαρᾶς καὶ λείας ἀεὶ φέρεσθαι τῆς ὁδοῦ, ἐπειδὰν προσκόπτῃ τισὶν ἐξοχαῖς κατ' αὐτὴν, κλόνον τέ τινα καὶ οἷον ἀνώμαλον σεισμὸν ἐργάζεται κατὰ τὴν φάρυγγα, καὶ οὕτως ἐρεθίζεται πρὸς βῆχα τὸ ζῶον. ὥσπερ γὰρ καὶ ἄλλα πολλὰ

σωτηρίας ἕνεκα τοῖς ζώοις ἡ φύσις ἐναπειργάσατο σύμφυτα πάθη, κατὰ τὸν αὐτὸν τρόπον καὶ πταρμὸν καὶ βῆχα. πταρμὸν μὲν ὑπὲρ τοῦ
11.502 διώσασθαι τὰ κατὰ τὰς ῥῖνας ἐρεθίζοντά τε καὶ λυποῦντα, βῆχα δ' ὑπὲρ τοῦ τὰ κατὰ τὴν φάρυγγα. διττὴ δ' ἐστὶν ἡ τοιαύτη διάθεσις, ἢ αὐτοῦ παρὰ τὴν ἀρτηρίαν ὑμένος ἀναξηραινομένου τε καὶ τραχυνομένου, ἤ τινος ἀνωμάλου ἐν αὐτῷ φερομένου σώματος εἴτ' οὖν ὑγροῦ τὴν φύσιν εἴτε καὶ στερεοῦ. διὰ τοῦτο κἂν ἄρτου τι μόριον σμικρὸν, ἤ τινος ἄλλου τῶν ἐδεσμάτων ἀκόντων ἡμῶν παραδράμῃ ποτ' εἰς τὸν τοῦ πνεύματος πόρον, ἀναγκαζόμεθα βήττειν, κἂν πινόντων ἡμῶν ἀθρόον τι παραρρυῇ τοῦ πόματος, ὁμοίως ἐρεθίζεται καὶ βῆχα προσκαλεῖται. παρηθεῖται μὲν γὰρ ἀεί τι κατὰ τὴν τραχεῖαν ἀρτηρίαν εἰς τὸν πνεύμονα τοῦ πινομένου σμικρὸν οὕτως, ὡς ἀναρπάζεσθαί τε πρὸς τῶν ὀργάνων αὐτίκα καὶ διαδίδοσθαι πάντη ῥᾳδίως. οὐ μὴν οὐ διίσταταί γε ἀθρόον οὐδαμόθι κατὰ τὰς ὁδοὺς τοῦ πνεύματος, οὐδ' ἐρεθίζεται πρὸς βῆχα τὸ ζῶον. ἐπειδὰν δ' ἤτοι τοῦτο πλέον, ἢ ἄλλο τι τοιοῦτον ὑγρὸν, ἢ στερὸν σῶμα κατὰ τὴν τραχεῖαν ἀρτηρίαν ἐμφέρηται, βήττειν ἀναγκαῖον ἤδη τοὐντεῦθεν, ἄχρι περ ἂν ὑπὸ τῆς σφοδρότητος τοῦ πνεύματος ἐκβρασθῇ τὸ λυποῦν. ἀνάλογον δέ τι τῷδε συμβαίνει, κἀπειδὰν αὐτῷ τῷ κατὰ τὴν ἀρτηρίαν
11.503 ἔνδον ὑμένι τραχυνθέντι προσκόπτῃ τὸ πνεῦμα, πλὴν ἀλλ' ἥ γε διάθεσις αὕτη τῆς προειρημένης ἐστὶν ἑτέρα. αὕτη μὲν γὰρ ἀφαιρεῖταί τι καὶ ἀποξύεται τοῦ τῆς ἀρτηρίας ὑμένος, ἔσωθεν δὲ προσπίπτει κατὰ τὴν προτέραν διάθεσιν. τὸ κοινὸν δ' ἀμφοῖν ἐστιν ἡ ἀνωμαλία τῆς τοῦ πνεύματος ὁδοῦ. λέλεκται δ' ἐπιπλέον ὑπὲρ αὐτῶν ἐν ταῖς τῶν συμπτωμάτων αἰτίας. ἀλλ' εἴς γε τὸ παρὸν ἀπόχρη γινώσκειν ὡς τὰ μὲν δακνώδη πάντα τῷ τραχύνειν τὴν φάρυγγα, τὰ δ' ἐλαιώδη καὶ λιπαρὰ τῷ περιπλάττεσθαι τὴν ἀνωμαλίαν τε καὶ τὴν κέρχνον ἐργάζεται. πᾶν γὰρ ὅ τι περ ἂν ἔξω τῆς φύσεως ἐπιπίπτῃ τῷ χιτῶνι τῆς ἀρτηρίας, ἐμπλάσσεταί τε δυσαπολύτως, ἄηθες μὲν τοῖς ὀργάνοις καὶ τῷ δι' αὐτῶν φερομένῳ πνεύματι, λυπηρὸν δὲ τῷ ζώῳ γίγνεται. καὶ οὐ τοῦτό φημι νῦν, ὡς οὐχὶ καὶ τῇ ποιότητι δακνώδη τὰ πλεῖστα τῶν ἐλαίων ἐστί. τά τε γὰρ ἁλῶν μετέχοντα καὶ τὰ παντάπασι νέα δακνώδη πάντως ἐστὶν, οὐ διὰ τὴν ἰδίαν αὐτῶν οὐσίαν, ἀλλ' ὅτι πᾶσι τοῖς ἐκ τῶν φυτῶν χυλοῖς ἐμφέρεται περίττωμα διττὸν, ὡς καὶ Θεόφραστος μὲν ἱκανῶς ἐπέδειξε καὶ ἡμεῖς δ'

11.504 ἐν τοῖς ἑξῆς ἐπιδείξομεν, ἕτερον μὲν τὸ παχύτερον καὶ οἷον γεωδέστερον, ἕτερον δὲ τὸ λεπτότερον καὶ ὑδατωδέστερον. ἔστι δὲ καὶ κατὰ τοὔλαιον ταῦτ᾽ ἄμφω χρόνου δεόμενα πρὸς σύμπεψίν τε καὶ διάκρισιν, ἀλλ᾽ ἐν τῷ χρόνῳ τὸ μὲν ὑφίσταται, τὸ δ᾽ ἐκδαπανᾶται. καὶ πρότερόν γε τὸ γεῶδες καὶ παχύτερον ὑφίσταται τὸ καλούμενον ἀμόργη, θάτερον δὲ τὸ λεπτότερον καὶ οἷον ὑδατωδέστερον, ἔστι πως καὶ τοῦτο σύνθετον, ἐξ ἀερώδους τέ τινος οὐσίας καὶ λεπτῆς ὀρρώδους.

Τὸ δ᾽ ὀρρῶδες τοῦτο πυρρὸν μὲν τὴν χρόαν ἐστὶ, τοῦ δ᾽ ὑφισταμένου καὶ παχέος καὶ γεώδους ἀπομέμακται τὴν ποιότητα. αὐτὸ δὲ τοὔλαιον ἄδηκτόν τε καὶ λευκόν ἐστι κατά γε τὴν ἑαυτοῦ φύσιν, ὅθεν ἐπειδὰν ἀποχωρισθῇ τὸ λεπτὸν τοῦτο περίττωμα, λευκότερόν τε καὶ γλυκύτερον ἑαυτοῦ γίγνεται. ἀποχωρίζεται δὲ τρόποις πολλοῖς. ἢ γὰρ ἐν ἡλίῳ θερμῷ θέντες ἀγγεῖον εὐρύστομον ἐλαίου μεστὸν, αἴροντες κόγχαις ἐξ αὐτοῦ πολλάκις ἄνωθεν καταράττουσιν, ἢ θερμὴν ὑποτιθέασιν τέφραν τοῖς περιέχουσιν ἀγγείοις τοὔλαιον, ἡλιοειδῆ θερμασίαν ὡς ἔνι μάλιστα
11.505 μιμούμενοι. φυλάττονται γὰρ τὴν πλείονα, μεταβάλλουσαν αὐτὸ κατὰ ποιότητα καὶ κνισσοῦσαν ἑτοίμως, ἢ πυρῆνας ἐλαιῶν, ἢ σῖτον ἐν κύκλῳ περιτιθέασιν, ἢ ἐπεμβάλλουσί τινα φάρμακα τοῖς ἀγγείοις αὐτοῖς, ἐνὶ δὲ λόγῳ τὸ μὲν ὑδατῶδες ἐξάγουσι καὶ δαπανῶσι, τὸ λοιπὸν δὲ φυλάττουσιν. ἐὰν οὖν οὕτω γλυκὺ καὶ λευκὸν ἔλαιον λαβὼν, ᾧ μηδ᾽ ἀπ᾽ ἀρχῆς ὑπῆρχε μετέχειν ἁλῶν, ἔτι δὲ καὶ πλύνεις, ὡς εἴρηται πρόσθεν, ἀδηκτότατόν ἐστί σοι τοῦτο πάντων φαρμάκων. καὶ ἡμεῖς τοι πολλάκις τοιοῦτόν τισιν ἔλαιον ἐδώκαμεν πιεῖν καὶ αὐτοί τε προσηνεγκάμεθα πείρας ἕνεκα καὶ ἦν ἄδηκτόν τε κατ᾽ ἔντερον ἀκριβῶς καὶ τῆς φάρυγγος ἥκιστα κερχνῶδες, ἐγχεόμενόν τε τοῖς ὀφθαλμοῖς βραχεῖαν αἴσθησιν ἔφερεν αὐτῷ μόνῳ τῷ ξένῳ καὶ ἀήθει μᾶλλον ἢ τῇ δριμύτητι διοχλοῦν. τὸ μὲν δὴ τοιοῦτον ἔλαιον, ἀκριβῶς ὑπάρχον ἔλαιον, ὑγραίνει τε πάντα καὶ μαλάττει, μήτε ψυχρὸν ἄκρως, ὡς εἴρηται, μήτε θερμὸν προσφερόμενον. ᾧ δὲ καὶ τῶν ἁλῶν μέτεστιν, ἔχει τι καὶ δήξεως ἐξ
11.506 ἀνάγκης, ἀλλὰ θαυμάσαιμ᾽ ἂν εἴ τις οὕτω πολλοὺς ἐμβάλλει τοὺς ἅλας, ὡς ἰσχυρότερον γενέσθαι τῆς ἐλαιώδους τε καὶ λιπαρᾶς οὐσίας καὶ ἵνα τις ἀποδείξηται τὸν Ἀρχίδαμον, ἐπικαίεσθαι λέγοντα τὸ δέρμα τοῖς ἐν ἐλαίῳ τριβομένοις, ἐπεί τοι καὶ τοῦτο γιγνόμενον οἶδα πολλάκις, ἄλλων τέ

τινων ἕνεκα καὶ ποδάγρας καὶ ἀρθρίτιδος. ἀνατρίβουσι γὰρ ἔνιοι τὰ πεπονθότα μόρια σὺν ἐλαίῳ βραχεῖ λείοις ἁλσὶν, ἐν τοῖς διαλείμμασι δηλονότι καὶ οὐκ ἐν τοῖς παροξυσμοῖς, ὑπὲρ τοῦ ξηρᾶναι καὶ διαφορῆσαι τὸ περιττὸν ἅπαν, εὐεξίαν τέ τινα καὶ ῥώμην ἐνθεῖναι τοῖς ἀσθενέσι μορίοις. ἀλλ᾽ ἐν τούτῳ μὲν οἱ ἅλες κρατοῦσιν, ἐν ἐλαίῳ δὲ κρατοῦνται. καὶ χρὴ τὸν ἐπαλειφόμενον καὶ ἀνατριβόμενον πρὸς τὰ βρεχόμενα μᾶλλον ἐν ἐλαίῳ παραβάλλειν ἢπερ τὰ ἐψόμενα, μὴ μέλλοντάς γε καθεψήσειν ἐν ἐλαίῳ ζέοντι τὸν ἄνθρωπον, ἀλλ᾽ ἐπαλείφειν εὐκράτω. κάλλιον γὰρ ἦν, ὡς πολλάκις εἴρηταί μοι καὶ πρόσθεν, αὐτὸ τὸ γιγνόμενον ὁρᾶν αἰσθητόν τε ὂν καὶ σαφὲς ἀκριβῶς. οὐ γὰρ δήπου δεῖ τῶν ἔξωθεν παραδειγμάτων ἐν τοῖς οὕτω γνωσθῆναι δυναμένοις. εἰ δ᾽
11.507 ἄρα ποτὲ καὶ ἄδηλον εἴη τὸ ζητούμενον, ὡς τῆς ἐξ ἑτέρων δεῖσθαι πίστεως, οὐδ᾽ οὖν οὐδ᾽ ἐνταῦθα πορρώτατά τε καὶ ἀνομοιότατα τίθεσθαι μαρτύρια τῆς τοῦ ζητουμένου δυνάμεως, ὑπερβαίνοντας τὸ πλησιάζον. ἐναργὲς δήπου καὶ σαφὲς πᾶσίν ἐστιν ὡς ἡ μετ᾽ ἐλαίου τρίψις ἀκοπωτέρα γε πολὺ τῆς ξηρᾶς ἐστιν καὶ μαλάττει τὰ σώματα, συνέχουσα καὶ ἀποστέγουσα μᾶλλον, ὅσον ἀπορρεῖν πέφυκεν ἡμῶν ἐκτὸς οὐ διαφοροῦσα καὶ ξηραίνουσα. τοῦτο δὲ καὶ ὁ Διοκλῆς αὐτὸς ὡμολόγησεν, ἐμπλαστικόν τε τῶν πόρων τοὔλαιον ἀποφηνάμενος εἶναι καὶ τῶν ἀπορρεόντων ἐφεκτικὸν καὶ βυρσῶν μαλακτικόν. εἰ δ᾽ οὐκ ἤρκει τὸ φαινόμενον αὐτῷ καὶ διὰ τοῦτο τῶν ἔξωθέν τι τεκμηρίων ἐπάγειν τῷ λόγῳ βέλτιον ἐνόμιζε, τῶν ἐν ἐλαίῳ ψυχρῷ διαβρεχομένων ἐχρῆν αὐτὸν μνημονεύειν, οὐ τῶν ἐν τῷ ζέοντι καθεψομένων.

Ὥσπερ ἐν τοῖς τοιούτοις ὑπερβαίνει τὸ φαινόμενον, οὕτω κἀν τῷ φάσκειν ἀνώμαλον γίγνεσθαι τὴν ἐν ἐλαίῳ τρίψιν, ὀλισθανουσῶν τῶν χειρῶν. αὐτὸ γὰρ δὴ τοὐναντίον ἅπαντες ἐναργῶς αἰσθανόμεθα, τῆς μὲν
11.508 δι᾽ ἐλαίου τρίψεως ὁμαλοῦς γιγνομένης, ἀνωμάλου δὲ τῆς ξηρᾶς. συνεπάγονται γὰρ ἐν ταῖς ξηραῖς τρίψεσιν αἱ χεῖρες τὸ δέρμα καὶ οἷον διπλοῦσί τε καὶ ἐπιπτύσσουσιν ἐν αὐτῷ βεβαίως τε καὶ παρὰ φύσιν. εἶθ᾽ ὅταν μηκέτι τὸ πρότερον οἷον ἐνδίπλωμα παραπτομέναις ταῖς χερσὶν ἔπεσθαι δύνηται, τουτὶ μὲν ἀνατρέχει καὶ ἀνασπᾶται πρὸς τὸ συνεχὲς, αἱ χεῖρες δ᾽ ἀθρόως ἐφ᾽ ἕτερον τοῦ δέρματος μετέρχονται μόριον, ὑπερβαίνουσαι τὸ κάτωθεν μέρος τῆς ἐνδιπλώσεως καὶ διὰ τοῦτο καὶ

σκληρᾶς καὶ ἀνωμάλου καὶ κοπώδους τῆς τοιαύτης τρίψεως αἰσθανόμεθα· σκηρᾶς μὲν, ὅτι τε τείνεται βιαίως καὶ θλᾶται τὸ δέρμα, διὰ δὲ τὰ αὐτὰ καὶ κοπώδους, ἀνωμάλου μὲν διότι μὴ παντὶ μορίῳ τοῦ δέρματος αἱ τρίβουσαι χεῖρες ἐπιπίπτουσιν, ἀλλ᾽ ὑπερβαίνουσιν ἀεὶ τὸ κάτωθεν μέρος τῆς ἐνδιπλώσεως. καὶ γίνεται τοῦτο διά τε τὰς φυσικὰς τοῦ δέρματος τραχύτητας, καὶ μάλιστα ἐν τοῖς παρηβῶσι σώμασιν, καὶ ὅτι χαλαρόν ἐστι τοῖς ἄλλοις σχεδὸν ἅπασι, τοῖς τε ἰσχνοῖς καὶ πρεσβύταις μάλιστα. λεῖον μὲν γὰρ, εἴπερ ἦν ὅλον ὁμαλῶς τὸ δέρμα καὶ τεταμένον
11.509 ἀκριβῶς, οὐκ ἂν ἐπεπτύσσετο ῥᾳδίως οὔτ᾽ ἀνωμάλους εἰργάζετο τὰς τῶν χειρῶν ἐπ᾽ αὐτοῦ φοράς, ἀλλ᾽ ἔθεον ἂν, οἶμαι, ῥᾳδίως εἰς τὸ πρόσθεν ἀπὸ τῶν πρώτων ἑτοίμως ὀλισθάνουσαι πρὸς ἕτερα, τῷ μηδὲν ἅμ᾽ ἑαυταῖς συνεπάγεσθαι τοῦ δέρματος μόριον. ἐπεὶ δὲ χαλαρόν τέ ἐστιν καὶ τραχὺ, δεῖταί τινος ἔξωθεν φαρμάκου τάς τε ῥυτίδας ἀναπληρώσοντος αὐτοῦ καὶ τὸν ὄλισθον ταῖς τριβούσαις χερσὶν παρέξοντος, εἰς ταῦτα δὲ οὐδὲν ἂν εὕροις ἐπιτηδειότερον ἐλαίου. καὶ θαυμάσειεν ἄν τις Ἀρχιδάμου, μήτε τὸ φαινόμενον ἐναργῶς αἰδεσθέντος μήτε τὸν ἐπ᾽ αὐτῷ λόγον ἐξευρόντος, ἀλλ᾽ ἐν ἀμφοτέροις ἀποφηναμένου τἀναντία. φαίνεται γὰρ ἀνώμαλος μὲν ἡ ξηρὰ τρίψις, ὁμαλὴ δὲ ἡ σὺν τῷ ἐλαίῳ, μαρτυρεῖ τε τούτοις ὁ λόγος οὐχ ἥκιστα τὴν αἰτίαν ἐξηγούμενος.

Ἀλλὰ περὶ μὲν Ἀρχιδάμου τε καὶ Διοκλέους ἅλις εἴς γε τὰ παρόντα. βούλομαι γὰρ, ἐπειδή περ ἅπαξ ἐπὶ τὸ δεικνύναι τὴν μοχθηρὰν ὁδὸν τῆς τῶν δυνάμεων εὑρέσεως ἦκον ἐλαίῳ παραδείγματι χρώμενος ἐπεξελθεῖν τάχιστα τὸν λόγον ἅπαντα. λεγόντων οὖν τῶν φιλοσόφων θερμὸν εἶναι
11.510 τοὔλαιον καὶ τεκμήριον τούτου τιθεμένων οὐ σμικρὸν, ὡς οἴονται, τὸ τάχος τῆς εἰς τὴν φλόγα μεταβολῆς ἀντιλέγοντες ἔνιοι τουτὶ μὲν ὑπάρχειν αὐτῷ φασιν, ὅτι λεπτόν τ᾽ ἐστὶ καὶ ἀερῶδες. ἐκ δὲ τοῦ πήγνυσθαι ταχέως ἐν τῷ χειμῶνι σαφῶς ἐνδείκνυσθαι τὴν ψύξιν. οὐ μόνον γὰρ οἴνου καὶ ὄξους, ἀλλὰ καὶ αὐτοῦ τοῦ ὕδατος ἑτοιμότερον ὑπὸ τοῦ ψυχροῦ νικᾶσθαι. πρὸς ταῦτα δὲ ἀντιλέγοντες ἕτεροι, τὸ μὲν ἀερῶδες ὑπάρχειν αὐτὸ συγχωροῦσιν καὶ φαίνεσθαί γε σαφῶς τοῦτό φασιν ἐκ τῆς κουφότητος, οὐ μὴν καὶ ψυχρόν γε εἶναι τὴν δύναμιν ὁμολογοῦσιν. ἀέρα γὰρ ἅπαντα θερμὸν ὑπάρχειν τὴν φύσιν, ὡς δηλοῖ καὶ ἡ γένεσις αὐτοῦ. λεπτυνθὲν οὖν καὶ λυθὲν ὑπὸ θερμότητος ὕδωρ, ἀέρα γίγνεσθαι. καὶ

δῆλον ὡς ἐντεῦθεν αὐτοὺς διαδέχεται μέγιστον ζήτημα, τὸ καὶ τοῖς ἐνδοξοτάτοις φιλοσόφοις ἠμφισβητημένον, Ἀριστοτέλους μὲν καὶ τῶν ὑπ᾽ αὐτοῦ θερμὸν ὑπολαμβανόντων εἶναι τὸν ἀέρα, τῶν δ᾽ ἀπὸ τῆς στοᾶς ψυχρόν. ἀλλὰ καὶ περὶ τοῦ πήγνυσθαι ταχὺ τὸ ἔλαιον, ὅπερ ἐδόκει τοῖς ψυχρὸν ἀποφαίνουσιν αὐτὸ τὸ μὴ σφοδρῶς πήγνυσθαι, καθάπερ τὸ ὕδωρ,
11.511 ἀντιπροτείνουσιν οἱ θερμὸν ὑπάρχειν αὐτὸ φάσκοντες. οὐδὲ γὰρ οὐδὲ πῆξιν εἶναι τὸ γινόμενον ἐπ᾽ αὐτοῦ φασιν, ἂν ἀκριβῶς ἐξετάζωμεν, ἀλλ᾽ οἷον σύστασίν τινα καὶ πάχυνσιν, καὶ γίγνεσθαι τοῦτο λέγουσιν, ὅτι παχὺ καὶ γλίσχρον ἐστὶν, οὐχ ὅτι ψυχρὸν, ὥστε κἀνταῦθα πάλιν ὁ λόγος ἑκατέρωθεν εἰς ἀπορίαν ἀφικνεῖται, τῶν μὲν ἐκ τοῦ θᾶττον ὕδατος ὑπὸ τῆς ψύξεως νικᾶσθαι τοὔλαιον, τῶν δ᾽ ἐκ τοῦ μᾶλλον ὕδωρ ἐλαίου πήγνυσθαι κατασκευαζόντων τἀναντία· πρὸς τῷ τοίνυν ἐν τούτοις ἀμφισβητεῖν οὐδ᾽ ὡς ἀερῶδές ἐστιν ὁμολογοῦσιν ἅπαντες. ἡ μὲν γὰρ κουφότης τούτου, φασὶ, σύμβολον, ἡ μέντοι παχύτης οὐ σμικρὸν τεκμήριον τοῦ γεῶδες ὑπάρχειν αὐτό. συνθέντες δ᾽ ἄμφω τινὲς ἀερῶδές τε ἅμα καὶ γεῶδες εἶναί φασιν. εἰσὶ δ᾽ οἳ καταγελῶσι τούτων, ὡς τὸ μάλιστα ὑπάρχον ἐλαίῳ, τὴν ὑγρότητα τελέως ἀφαιρουμένων τῷ λόγῳ. πρὸς τοίνυν τούτοις ἐκ τοῦ γλίσχρον ὑπάρχειν αὐτὸ τινὲς μὲν ψυχρὸν ἐπιδεικνύουσιν, τινὲς δὲ θερμὸν, καὶ τινὲς μὲν ξηρὸν, ἔνιοι δ᾽ ὑγρόν. εἰ μὴ γὰρ συνῆκτο καὶ πεπύκνωτο τὰ μόρια καὶ ἀλλήλων ἀκριβῶς εἴχετο,
11.512 μὴ ἂν γενέσθαι γλίσχρον, ἔργα δ᾽ εἶναι ταῦτα σύμπαντα ψυχροῦ. διαχεῖν γὰρ καὶ λύειν καὶ λεπτύνειν καὶ ἀπ᾽ ἀλλήλων χωρίζειν τὰ μόρια τὴν τοῦ θερμοῦ φύσιν. οἱ δ᾽ αὖ τοὐναντίον οὐδ᾽ ἂν γενέσθαι τι γλίσχρον φασὶν ἄνευ θερμότητος κρατούσης, ὡς κἂν ταῖς ἑψήσεσι δηλοῦσθαι τῶν χυλῶν ἁπάντων, ὅσοι τε βοτανῶν ἐκθλίβονται καὶ ὅσοι καρπῶν. ὑδατώδεις γὰρ ὄντας τὰ πρῶτα καὶ λεπτοὺς ταῖς συστάσεσιν καὶ διαρρέοντας, ἐπειδὰν ἑψηθῶσιν, παχεῖς καὶ γλίσχρους γίνεσθαι. καὶ μὲν δὴ κἀκ τῶν κατὰ μέρος παραδειγμάτων ἑκάτεροι τἀναντία πιθανῶς κατασκευάζουσιν, οἱ μὲν ἰξὸν καὶ μέλι καὶ πίτταν ὑγρὰν καὶ ῥητίνην, ἕτερά τε τοιαῦτα τῶν ὁμολογουμένων γλίσχρων τε ἅμα καὶ θερμῶν προτείνοντες. οἱ δὲ κωνείου καὶ ψυλλίου καὶ ἀνδραφάξυος καὶ βλίτου χυλοῦ μνημονεύοντες, ἔτι δὲ πρὸς τούτοις οἷον κολοφῶνά τινα τῷ λόγῳ τὸ φλέγμα προχειριζόμενοι· σαφῶς γὰρ αὐτοῖς τοῦτο καὶ γλίσχρον εἶναι

δοκεῖ καὶ ψυχρόν. ἀλλὰ κἀκ τοῦ τοῖς φλεβοτομουμένοις ἐπισταζόμενον ἔλαιον εὕρουν ἐργάζεσθαι τὸ αἷμα τἀναντία κατασκευάζοντάς ἐστιν ἰδεῖν
11.513 ἑκατέρους. οἱ μὲν γὰρ ὡς τῇ θερμότητι χέον, οἱ δ' ὡς τῇ ψυχρότητι τὸν ὄλισθον παρέχον, ὁμοίως κρυστάλλῳ τὴν εὔροιαν ἐργάζεσθαί φασιν αὐτό. κἄπειτ' ἐντεῦθεν ἐκτραπόμενοι περὶ τῆς τῶν ὀλισθηρῶν ἁπάντων φύσεως διαλέγονται, μέχρι τῆς ἐσχάτης φιλολογίας ἀνιόντες τῷ λόγῳ. καταγινώσκοντες δὲ τῆς τούτων ἄλης, ὥς φασιν, ἕτεροι τὴν πιμελὴν τῷ λόγῳ προχειρίζονται, πλησιαίτατα μὲν ἐλαίῳ τὴν φύσιν ὑπάρχουσαν, ἐναργῶς δ' εὑρεθῆναι δυναμένην ὁποία τίς ἐστι τὴν κρᾶσιν, ἐν αὐτοῖς γὰρ ἡμῖν συνισταμένην οὐκ ἂν δύνασθαι λαθεῖν. αὐτίκα γέ τοί φασιν ἐν τοῖς ὑγιεινοῖς καὶ εὐτραφέσι σώμασιν γεννᾶσθαι πιμελὴν πολλὴν, ἃ μηδὲ μανέντα τινὰ φάναι ψυχρά. γίνεσθαι γὰρ τοιαῦτα τῆς φύσεως ἐρρωμένης, ἣν δὴ θερμόν τι χρῆμα πάντες ὡμολογήκασιν οἱ φυσικοὶ φιλόσοφοι. τούτοις δ' ἀντιλέγοντές τινες ἐν ψυχροτέραις κράσεσι γεννᾶσθαι πιμελήν φασιν, ὡς δηλοῦν τάς τε γυναῖκας καὶ τοὺς ἀργῶς διαιτωμένους. ἤδη δὲ καὶ τῶν ἐθνῶν, ἔνθα μὲν τὸ ψυχρὸν κρατεῖ, πιμελώδεις, ἔνθα δὲ τὸ θερμὸν, ἰσχνούς φασι γίνεσθαι τοὺς ἀνθρώπους καὶ προχειρίζονται
11.514 παράδειγμα τῷ λόγῳ, Κελτοὺς μὲν καὶ Θρᾷκας καὶ Βιθυνοὺς καὶ Ποντικοὺς καὶ Γαλάτας, ἅμα μὲν ψυχρᾶς χώρας οἰκήτορας, εὐθὺς δὲ καὶ πιμελώδεις τοὐπίπαν· Ἄραβας δὲ καὶ Λίβυας Αἰγυπτίους τε καὶ Αἰθίοπας, ὅσοι τ' ἄλλοι θερμὴν ἐποικοῦσι γῆν ἰσχνοὺς καὶ ξηροὺς ἅπαντας. εἰσὶ δ' οἳ καὶ χωρὶς κατὰ μέρος παραδειγμάτων αὐτῷ τῷ καθόλου λόγῳ πρὸς ἀλλήλους ἀμφισβητοῦσιν, οἱ μὲν μηδ' ἂν γενέσθαι τὸν λιπαρὸν ἐν ἡμῖν χυμὸν, εἰ μὴ καλῶς ὑπὸ τῆς φύσεως αἱ τροφαὶ κατεργασθεῖεν, οἱ δὲ τοῦτον μὲν ἐν ταῖς τροφαῖς περιέχεσθαι, καταναλίσκεσθαι δ' ὑπὸ τῆς ἐν ἡμῖν θερμασίας, ὥσπερ τοὔλαιον ὑπὸ τῆς φλογὸς, ἧς ἀρρώστου γινομένης ἀθροίζεσθαι κατὰ τὸ σῶμα. τινὲς δὲ αὐτῶν καὶ τὰ ζῶα παρατίθενται τῷ λόγῳ, τὰ μὲν φύσει ψυχρότερα πιμελωδέστερα πάντα ὑπάρχοντα, καθάπερ ἄρκτοι καὶ ὄιες καὶ σύες, τὰ δ' αὖ θερμότερα ξηρότερα καὶ ἀπίμελα, καθάπερ λέοντές τε καὶ παρδάλεις καὶ κύνες. ἔτι τοίνυν ἀπὸ τοῦ διαφθείρεσθαι βρεχομένας ἐλαίῳ μελίττας τε καὶ μυίας καὶ σφῆκας καὶ μύρμηκας, οἱ μὲν ψυχρὸν, οἱ δὲ θερμὸν ἐπιδεικνύναι πειρῶνται τοὔλαιον, καὶ τινὲς μὲν ὑγρὸν, τινὲς δὲ ξηρόν. ἄναιμα γὰρ

11.515 ὄντα τὰ εἰρημένα ζῶα καὶ διὰ τοῦτο ψυχρὰ, τινὲς μὲν ἑτοίμως ὑπὸ ἐλαίου καταψύχεσθαί φασιν καὶ διὰ ταῦτ’ ἀποθνήσκειν· ἔνιοι δ’ ἐκθερμαινόμενα μὴ φέρειν τὴν εἰς τοὐναντίον μεταβολήν. καὶ δὴ καὶ ξηραινόμενα ἀμέτρως ἕτεροι διὰ τὸ φύσει προεξηράνθαι τῷ τῆς ἀμετρίας βλάπτεσθαι λόγῳ. ὑγραινόμενα δ’ ἕτεροι τῇ πρὸς τὴν φύσιν αὐτῶν ἐναντιότητι. τὸ μὲν οὖν ἐπὶ τῶν ἐντόμων ζώων εἰς τοὐναντίον ἀλλήλοις ἐπιχειρεῖν αὐτοὺς, οὐδὲν ἂν ἴσως εἶναι θαυμαστόν· ὅτι δὲ κἀκ τῶν ἡμῖν αὐτοῖς συμβαινόντων εἰς ἑκάτερον ἐπιχειροῦσιν, ἄξιον ἤδη θαυμάζειν. οἱ μὲν γὰρ μᾶλλον, οἱ δ’ ἧττον ἱδροῦν φάσκοντες, εἴ τις ἀλείψαιτο λουόμενος, οὔθ’ οἱ μᾶλλον εἰπόντες ὁμολογοῦσιν ἀλλήλοις ὑπὲρ τῆς καθόλου δυνάμεως οὔθ’ οἱ ἧττον. ἀλλὰ τῶν μὲν μᾶλλον ἱδροῦν φασκόντων ἡμᾶς ἔνιοι μὲν εἰς θερμότητα τὴν αἰτίαν ἀναφέρουσιν, ἔνιοι δ’ εἰς γλισχρότητα, τὸ μὲν θερμὸν τῇ φύσει προκλητικὸν ἱδρώτων φάσκοντες ὑπάρχειν οἱ πρότεροι, τὸ δὲ γλίσχρον οἱ δεύτεροι, θηρατικόν τε καὶ ἀθροιστικὸν γιγνόμενον τῶν τέως ἀπορρεόντων ἐν τάχει καὶ διὰ τοῦτο
11.516 λανθανόντων τὴν αἴσθησιν, ἐπίδηλον οὕτως ἐργάζεσθαι τὸ πλῆθος τῶν ἱδρώτων. οἱ δ’ ἧττον ἱδροῦν φάσκοντες τοὺς ἀλειψαμένους ἐν λουτροῖς καὶ γυμνασίοις οἱ μὲν ἐμπλαστικὴν, οἱ δὲ ψυκτικὴν αὐτῷ δύναμιν ἀνατιθέασιν. καὶ μὲν δὴ κἀκ τῶν φαινομένων οἱ μὲν ξηραίνειν, οἱ δ’ ὑγραίνειν αὐτό φασιν· ὑγραίνειν μὲν ὅσοι πλέον ἱδροῦν ὑπολαμβάνουσι τοὺς ἠλειμμένους, ξηραίνειν δὲ καὶ ἕτεροι. καὶ δὴ καὶ ἀπεριψύκτους διαφυλάττειν τοὺς ἀλειψαμένους, οἱ μὲν τῷ πάχει τε καὶ τῇ γλισχρότητι δίκην ἀμφιέσματός τινος ἢ προβλήματος εἶργον τὸ κρύος, οἱ δὲ τῇ φυσικῇ θερμότητι καὶ τὰ πλησιάζοντα συνεκθερμαῖνον. ἔτι τοίνυν ἐκ τοῦ μὴ βλάπτειν μηδ’ ἐξαλείφειν αὐτὸ τὰ διὰ τοῦ μέλανος ἐν τοῖς βιβλίοις γραφόμενα, καίτοι τῶν γε ἄλλων ὑγρῶν ἁπάντων ἐξαλειφόντων, οἱ μὲν ξηράν τε καὶ οἷον ἄνικμον αὐτοῦ τὴν φύσιν εἶναί φασιν, ὁμοίως ψάμμῳ τε καὶ σποδιᾷ, τινὲς δὲ καὶ παχυμερέστερον καὶ ἀκατέργαστον. οὕτω δὲ καὶ τὸ μὴ μίγνυσθαι τοῖς ἄλλοις οἱ μὲν εἰς κουφότητα καὶ λεπτομέρειαν, οἱ δὲ εἰς γλισχρότητα καὶ πάχος ἀναφέρουσιν, ἐπεὶ τοῖς γε ὁμοίως χυλοῖς
11.517 μίγνυσθαι, καθάπερ καὶ τῷ τῆς μαλάχης ἀφεψήματι. τὰ δ’ αὐτὰ καὶ περὶ τοῦ μὴ καλῶς ἐλαίῳ δεύεσθαι τὴν γῆν, καίτοι τοῖς ἄλλοις ὑγροῖς βρεχομένην, οἷον ὕδατι καὶ οἴνῳ καὶ ὄξει. τινὲς μὲν κἀνταῦθα τὸ ξηρὸν

τῆς οὐσίας, ἔνιοι δὲ τὸ λεπτομερὲς, εἰσὶ δ' οἳ τὸ παχυμερὲς αἰτιῶνται, διεξέρχεσθαι μὲν τοὺς πόρους τῆς γῆς ἀψαυστὶ φάσκοντες οἱ τὴν λεπτομέρειαν αἰτιώμενοι, τὴν ἀρχὴν δὲ μηδ' ἐμπίπτειν εἰς αὐτοὺς οἱ τὴν παχυμέρειαν. ἔστι δ' οὐδετέρους ἐλέγξαι, κατ' ἀμφοτέρας τὰς αἰτίας δυναμένων τινῶν καὶ μὴ μίγνυσθαι τοῖς πέλας, εἴ γε καὶ τῶν φυσικῶν ἐνίοις ἡ συμμετρία τῶν πόρων αἰτία τῆς μίξεως εἶναι δοκεῖ. κἀγὼ μὲν νῦν ἐπὶ κεφαλαίων αὐτὰ διέρχομαι, τὰς ἀφορμὰς τῶν ἐπιχειρημάτων ἀναμιμνήσκων μόνας. εἰ δέ τις ἐκτείνειν ἕκαστον ἐθέλοι καὶ κατασκευάζειν ἑκατέρωθεν, οὐ μίαν οὕτω γε βίβλον, ἀλλὰ παμπόλλας ἂν οἶμαι πληρώσειν αὐτόν. πάρεστι δὲ ἤδη σκοπεῖν ὡς οὐ μακρὰ μόνον ἡ τοιαύτη πλάνη τῶν λόγων, ἀνεκτὸν γὰρ ἂν ἦν, ἀλλὰ καὶ μέχρι τῆς ἄκρας ἀνερχομένη φυσιολογίας, ἐνίοτε δὲ καὶ δύσκριτον. εἰ δ' ὅτι καὶ
11.518 παντάπασιν ἄχρηστος ἰατροῖς εἰδείη τις, ἔτι καὶ μᾶλλον, οἶμαι, φεύξεται τὴν τοιαύτην ὁδὸν τῶν λόγων. οὔτε γὰρ ἁπλῶς εἰ θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν ἐστιν ἕκαστον τῶν φαρμάκων ζητοῦμεν οὔτ' εἰ μυρμήκων, ἢ σφηκῶν, ἢ μελιττῶν ἤ τινος ἄλλου τῶν ζώων ὑγραντικὸν, ἢ ξηραντικὸν, ἢ θερμαντικὸν, ἢ ψυκτικόν ἐστιν, ἀλλ' ὅπως ἔχει πρὸς ἀνθρώπινον σῶμα. παρὸν οὖν ἐπ' ἀνθρώπων ποιεῖσθαι τὴν βάσανον, οὐ καλῶς ἐκτρέπονται πρὸς ἕτερα.

Βάσανος δ' ὀρθὴ πρῶτον μὲν ἡ ἐπὶ τῶν εὐκράτων σωμάτων, ἐφεξῆς δ' ἡ ἐπὶ τῶν δυσκράτων, εἶθ', ὡς εἴρηται πολλάκις ἡμῖν καὶ πρόσθεν, ἡ ἐπὶ τῶν θερμῶν καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν νοσημάτων. ἐν οἷς προσέχειν τὸν νοῦν ἠξιοῦμεν καὶ ὡς διορίζεσθαι τὸ καθ' ἑαυτό τι δρῶν τοῦ κατὰ συμβεβηκός. ἔσεσθαι δὲ τοῦτο πρῶτον μὲν, εἰ ἁπλοῖς ὡς ἔνι μάλιστα προσφέροιτο πάθεσιν, δεύτερον δὲ εἰ εὐθὺς τοῦτο ἐξ ἀρχῆς αἰσθητῶς ἐμφαίνοι τὴν ἑαυτοῦ δύναμιν, ἢ μετὰ χρόνον, ἢ καὶ τελέως
11.519 ἀρθὲν, ὥσπερ τὸ τῆς θερμασίας ἐπανάκλησιν ἐργαζόμενον ὕδωρ ψυχρὸν, ἔτι τε πρὸς τούτοις ἄμικτον ἑτέρας ποιότητος, εἰς ὅσον οἷόν τε δυνατὸν ἐργάσασθαι τὸ τοιοῦτον. πῶς μὲν οὖν ἄν τις ἔλαιον ἐργάζηται τοιοῦτον λέλεκται καὶ πρόσθεν· πῶς δ' ἄν τις ἁπλῷ νοσήματι προσφέροι, νῦν εἰρήσεται, τοσοῦτον ἀναμνησάντων ἡμῶν πρότερον, ὡς ἐν ταῖς τῶν νοσημάτων διαφοραῖς ἐδείκνυτο, τινὰ μὲν ἐπὶ τὸ θερμότερον ἐκτετράφθαι σώματα χωρὶς κακοχυμίας τινὸς ἢ στήθους ἢ σπλάγχνου

φλεγμονῆς, ὥσπερ ἐν ταῖς σφοδραῖς ἐγκαύσεσιν εἴωθεν γίγνεσθαι, τινὰ δὲ ἐπὶ τὸ ψυχρότερον, ὡς ἐν τοῖς καλουμένοις ἤδη συνήθως ὑπὸ πάντων ἀνθρώπων ψυγμοῖς. ἐν δὴ ταῖς τοιαύταις διαθέσεσιν ἔλαιον προσφέρων ἐξευρήσεις ἐναργῶς εἴτε θερμαίνειν ἡμᾶς πέφυκεν εἴτε καὶ ψύχειν. ἔστω δὲ δηλονότι πάσης ἐπικτήτου ποιότητος ἰσχυρᾶς ἀπηλλαγμένον. ἀεὶ γὰρ ἐπὶ παντὸς φαρμάκου μεμνῆσθαι χρὴ τούτου. τὸ μὲν κεφάλαιον τοῦ λόγου τουτί· τὸ δ' ἔργον αὐτὸ τὸ γιγνόμενον ἡ πεῖρα δείκνυσιν. οἱ μὲν ἐγκεκαυμένοι πρὸς τὸ μὴ παύεσθαι τῆς θερμῆς ἔτι καὶ ἀσωδέστεροι
11.520 γίγνονται καὶ τοῦ χρόνου προϊόντος θερμότεροι. τοῖς ἐψυγμένοις δὲ σαφῶς οὐδὲν εἰς ὠφέλειαν ἢ βλάβος ἐξ ἐλαίου χρίσεως ἀποβαίνει. ᾧ καὶ δῆλον ὡς εἰ καὶ θερμαίνειν ἡμᾶς πέφυκεν, ἀλλ' οὐκ ἔτι γε σφοδρῶς ἢ ἐναργῶς, ὥσπερ ῥητίνη καὶ πίττα καὶ ἄσφαλτος. ἀκούειν δέ σε χρὴ νῦν οὔτε ξηρὰν ῥητίνην ἢ πίτταν ἢ ἄσφαλτον, οὐ γὰρ ἂν οὐδὲ ἀλείψαιτό τις αὐταῖς, οὐ μὴν οὐδὲ τὰς ἐν ἡλίῳ τετηκυίας, οὐ γὰρ ἁπλοῦν ἔτι τό γε τοιοῦτον οὐδ' αὐτοφυὲς ἂν εἴη φάρμακον, ἀλλὰ ῥητίνην μὲν ἤτοι τὴν αὐτόρρυτον ὀνομαζομένην, ἢ τὴν τερμινθίνην τε καὶ σχινίνην ὑγρὰν ἔτι καὶ πρόσφατον, ἢ τῆς πευκίνης τὴν ἐφισταμένην ἄνωθεν τοῖς κεραμίοις ἐλαιώδη· πίττης δὲ τὴν ὑγράν. καὶ μᾶλλον ἔτι τὸ κατ' αὐτῆς ἐποχούμενον ἐλαιῶδες, ὃ δὴ πίσσανθον ὀνομάζουσιν. ἔστι γὰρ ὄντως οἷον ἄνθος τι πίττης. οὕτω δὲ καὶ ἄσφαλτον τὴν ὑγρὰν, ἔτι τὴν ἐκ Μηδείας. ἅπαντα γὰρ ταῦτα λιπαρὰ μέν ἐστιν καὶ πλεῖστον τῆς ἐλαιώδους ἔχοντα φύσεως, ἐναργῶς μέντοι θερμαίνει, καθάπερ ἥ τε στακτὴ σμύρνα καὶ τὸ πεύκινον, ἢ ἀρκεύθινον, ἢ τὸ κέδρινον καὶ τὸ δάφνινον ἔλαιον, ἕτερά τε τοιαῦτα,
11.521 σαφῶς μὲν ἐκθερμαίνει τοὺς ἐψυγμένους, ἐσχάτως δ' ἀνιᾷ τοὺς ἐγκεκαυμένους. ταῦτα μὲν οὖν ἑκατέρωθεν ὁμολογεῖται θερμαίνειν. ἔλαιον δὲ οὐδ' ἑτέρωθεν ἰσχυρῶς οὔτε τοὺς κατεψυγμένους ἐκθερμαίνειν οὔτε βλάπτειν τοὺς ἐγκεκαυμένους. οὐ μὴν οὐδ' ἀσαφῶς γε τοῖς ἐπ' ἐγκαύσει πυρέξασιν ἄσης γέ τινος αἴτιον γίγνεται καὶ τὴν θερμότητα παραύξειν φαίνεται, καθάπερ κἀν τοῖς ἀκριβέσιν ἐρυσιπέλασιν. ἔστι δὲ δήπου ταῦτα χολώδη ῥεύματα, σαφῶς γὰρ δήπου καὶ ἐν αὐτοῖς τούτοις αὐξάνειν τὴν θερμασίαν, εἰ καὶ ψυχρὸν ἐσχάτως αὐτὸ προσάγοις. ἐπὶ μὲν γὰρ τῶν ἐγκαύσεων, εἰ χωρὶς ἁλῶν εἴη, καὶ ἄλλως λελευκασμένον ἔχει τινὰ παραμυθίαν ψυχρὸν καταντλούμενον.

ἐπὶ δὲ τῶν ἐρυσιπελάτων ὅπως ἂν ᾖ ψυχρὸν οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ βλάπτειν πέφυκε, τὰ μὲν ἐκ χολώδους ῥεύματος ἀκριβῶς ἅπαντα μεγίστας βλάβας, τὰ δ' ἐξ αἵματος αὐτῷ μεμιγμένου μικροτέρας μὲν, οὐ μὴν τὰς ἐπιτυχούσας γε οὐδὲ ταύτας. ἧττον δὲ τούτων, ἐναργῶς δ' οὖν ἔτι καὶ τὰς ζεούσας ἀνιᾷ φλεγμονὰς, ἐξ ὧν ἁπάντων τεκμαιρομένῳ μοι θερμότητα παραπλησίαν ἀνάπτειν ἔδοξεν οἷσπερ ἂν ὁμιλῆσαν τύχῃ.

11.522 φαίνεται γοῦν τοῖς μὲν μετρίως θερμοῖς σώμασιν προσφερόμενον μετρίως θερμαίνειν αὐτὰ, τοῖς δ' ἰσχυρῶς ἰσχυρὰν τὴν θερμασίαν ἀνάπτον.

Εἴρηται μὲν οὖν ἤδη κἀν τῷ τρίτῳ περὶ κράσεων, εἰρήσεται δὲ καὶ νῦν ὡς ἕκαστα τῶν προσφερομένων τῷ σώματι φαρμάκων, ἃ δὴ καὶ θερμὰ ταῖς δυνάμεσιν ὑπάρχειν ἔφαμεν, ἀρχὴν τοῦ θερμαίνεσθαι παρ' ἡμῶν λαμβάνοντα, τὰ μὲν ὡσαύτως ἡμᾶς ἀντιθερμαίνει, τὰ δὲ σφοδρότερον. ἐκ δὴ τῶν εἰς ἴσον ἀντιθερμαινόντων ἐφάνη μοι τοὔλαιον ἐπισκοποῦντι τὰς κατὰ μέρος αὐτοῦ δυνάμεις. εὕρισκον γὰρ ἀεὶ χλιαρὰν μὲν ἐν τοῖς μετρίως θερμοῖς σώμασιν ἀπεργαζόμενον αὐτὸ θερμότητα, ζέουσαν δ' ἐν τοῖς ζέουσιν. ἐφαίνετο δέ μοι διὰ τοῦτο καὶ σπασμοὺς καὶ τρόμους, ἀναισθησίας τε καὶ δυσαισθησίας, μήτ' ὠφελεῖν μηδὲν ἀξιόλογον μήτε βλάπτειν. ὠφελεῖν μὲν γὰρ οὐκ ἠδύνατο τῷ μὴ θερμαίνειν ἰσχυρῶς, βλάπτειν δ' οὐκ ἦν ἱκανὸν, ὅτι μηδ' ὅλως ἔψυχεν, ἐπικτήτου μὲν θερμότητος ἰσχυρᾶς λαβόμενον ἱκανῶς ὠφελεῖν· ἐπειδὰν εἰς πυέλους

11.523 ἐλαίου θερμοῦ ῥίζας τινὰς, ἢ πόας θερμαντικὰς ἐναφεψημένας ἔχοντας, τοὺς οὕτω πεπονθότας ἐμβιβάζοιμεν. ὅθεν εὐλόγως οἷον ὕλη τίς ἐστιν τῶν ἄλλων φαρμάκων. ἄν τε γὰρ ψυχρὰ μίξῃς αὐτῷ, ψυχρὸν ἔσται τὸ μικτὸν, ἄν τε θερμὰ, θερμόν. ὃ γὰρ ἂν ἐκ τῆς μέσης ὑπάρχῃ κράσεως, ὑπηρετεῖ τοῖς ἄκροις ἑκατέροις, ὡς μήτ' εἰ θερμῷ μιχθείη ψυχρὸν, τὸ μιχθὲν ἐξ ἀμφοῖν ἀπεργάσασθαι δυνάμενον, ὅτι μηδ' αὐτὸ ψυχρόν ἐστιν μήτ' εἰ ψυχρῷ θερμὸν, οὐδὲ γὰρ θερμὸν ὑπάρχει. καὶ κατὰ τοῦτο εὐλόγως οἱ μὲν θερμαίνειν αὐτὸ φάσκουσιν ἡμᾶς, οἱ δὲ οὐ θερμαίνειν. θερμαίνειν μὲν γὰρ ἂν δόξειε εἰς ἴσην τῷ θερμαίνοντι σώματι θερμασίαν ἀφικνούμενον, ἀντιθερμαίνειν γοῦν δύναται ταύτῃ. τῷ δὲ μὴ προσαυξάνειν ἣν κατέλαβε θέρμην, οὐκ ἂν δόξειε θερμαίνειν. οὐ γὰρ τὸ φυλάττειν ἣν εὗρεν, ἀλλὰ τὸ παραύξειν ἔργον εἶναι τοῦ θερμαίνοντος.

Ἀρχαὶ δὲ τῆς τοιαύτης ἀμφισβητήσεως τρεῖς εἰσι, τό τε μὴ διορίσασθαι τὰ
11.524 γένη τῶν θερμαίνειν ἡμᾶς λεγομένων καὶ τὸ ταῖς ὁμωνυμίαις χρῆσθαι συγκεχυμένως καὶ τὸ μηδεμίαν ἀπολιπεῖν μεσότητα. θερμαίνειν μὲν οὖν ἡμᾶς λέγεται τά τ' ἐνεργείᾳ θερμὰ, καθάπερ τὸ πῦρ αὐτὸ καὶ τὰ δυνάμει· καὶ τῶν δυνάμει θερμῶν τὰ μὲν ὡς τροφαὶ, τὰ δ' ὡς φάρμακα, τὰ δ' ὡς σκεπάσματα. τὸ θερμὸν δ' αὐτὸ, τό τε κατ' ἐνέργειαν ἤδη τοιοῦτον οὕτως ὀνομάζειν εἰθίσμεθα καὶ τὸ κατὰ δύναμιν, ὡς πολλάκις εἴρηται καὶ πρόσθεν. ἀλλὰ τὸ μὲν κατ' ἐνέργειαν τό θ' ἁπλῶς θερμὸν, οἷον τὸ πῦρ καὶ τὸ κατ' ἐπικράτησιν, οἷον τὸ ζῶον, καὶ τὸ πρὸς τὸ σύμμετρον ὁμογενὲς παραβαλλόμενον καὶ τὸ πρὸς ὁτιοῦν τὸ ἐπιτυχόν. τὸ δὲ κατὰ δύναμιν πρῶτον μὲν ἀντιδιαιρεῖται τοῦ κατὰ συμβεβηκὸς, εἶθ' ἑξῆς τοσαύτας ἔχει σημαινομένων διαφορὰς, ὅσας περ καὶ τὸ κατ' ἐνέργειαν θερμόν. οἷον γὰρ ὕλη τις ἐπιτήδειος ὑπάρχουσα τῷ κατ' ἐνέργειαν θερμῷ, τὸ μέν τι τοῖς ἁπλῶς ὀνομαζομένοις θερμοῖς, τὸ δέ τι τοῖς κατ' ἐπικράτησιν. ἄλλο δέ τι πρὸς τὸ σύμμετρον ὁμογενὲς ἢ ὁμοειδὲς ἢ ὁτιοῦν τὸ ἐπιτυχὸν παραβαλλομένοις οἰκεία γίνοιτ' ἂν ὕλη. διὸ καὶ τὰ πρὸς
11.525 ἄνθρωπον σκοπουμένους ἠξιοῦμεν ἀποχωρῆσαι τῶν ἄλλων ἁπάντων. ἐν τούτοις τε οὖν ἅπασιν ἁμαρτάνουσιν οἱ περὶ φαρμάκων δυνάμεως ἐπισκεψάμενοι καὶ πρὸς τούτοις ἔτι παρερχόμενοι τὰς μεσότητος, ἔν τε ταῖς κατὰ φύσιν ἡμῶν κράσεσιν, ὡς ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἐδείξαμεν, ἔν τε ταῖς τῶν φαρμάκων ἐξετάσεσιν. ὡς γὰρ ἤτοι θερμὸν εἶναι δέον ἐξ ἀνάγκης τὸ δοκιμαζόμενον φάρμακον, ἢ ξηρὸν, ἢ ὑγρὸν, ἢ ψυχρὸν, οὕτω ποιοῦνται τοὺς λόγους, ὥσπερ οὐκ ἐνδεχόμενον ἐν τῷ μεταξύ τι τῶν θερμαινόντων τε καὶ ψυχόντων ἡμᾶς τετάχθαι καί τι ἕτερον ἐν τῷ μεταξὺ τῶν ξηραινόντων τε καὶ ὑγραινόντων. οὕτω δ' εἰσὶν ἠλίθιοί τινες ὡς μηδ' ἀκούσαντες τἀληθὲς ἀκολουθῆσαι δύνασθαι. τινὰς γοῦν οἶδα καὶ ἀντιλέγειν ἐπιχειροῦντας ὡς οὐδὲν εἴη μέσον τὴν κρᾶσιν.

Ἀλλὰ πρὸς μὲν τούτους ἔν τε τῷ περὶ κράσεων εἴρηται τὰ προσήκοντα κἀν τοῖς ἐφεξῆς οὐδὲν ἧττον εἰρήσεται. τέλος δ' ἐπιθεῖναι σπεύδων τῷ
11.526 παρόντι λόγῳ πάλιν ἐπὶ τοὔλαιον ἐπάνειμι. συμβέβηκεν γὰρ αὐτῷ καὶ ὡς τροφῇ μὲν ἴσως θερμαίνειν ἡμᾶς, ἐπειδὰν εἴσω τοῦ σώματος λαμβάνηται. δοκεῖ γάρ τισιν οὐκ ἀδοκίμοις ἰατροῖς καὶ φιλοσόφοις γίγνεσθαί τις ὥσπερ ἐκ τῶν σιτίων, οὕτω καὶ ἐξ ἐλαίου πρόσθεσις τοῦ σώματος.

συμβέβηκε δὲ καὶ ὡς φαρμάκῳ μέσῳ πως εἶναι τῶν θερμαινόντων τε καὶ ψυχόντων ἡμᾶς, ὑπάρχει δ᾽ αὐτῷ καὶ ὡς σκεπάσματι θερμαίνειν ἡμᾶς, καὶ ἥ γε κυριωτάτη μάλιστα εἰκὼν τῆς φύσεως αὐτοῦ τοιαύτη τις εἶναί μοι δοκεῖ. ὡς γὰρ καὶ τῶν ἀμφιεσμάτων ἕκαστον ὑφ᾽ ἡμῶν αὐτῶν θερμαινόμενον ἀντιθερμαίνειν ἡμᾶς πέφυκεν, οὕτω καὶ τοὔλαιον. ἀλλ᾽ ὥσπερ ἐκείνων οὐδὲν αὐτοῦ τοῦ θερμαίνοντος σώματος γίγνεται θερμότερον, οὕτως οὐδὲ τοὔλαιον. ὅλον δ᾽ ἄν σοι τὸ πρᾶγμα νοηθείη καλῶς οὐκ εἰς τὰ παρόντα μόνον, ἀλλὰ καὶ εἰς τὰ μέλλοντα σύμπαντα χρήσιμον ἐσόμενον, εἰ ἀναμνησθείης αὐτοῦ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ποτὲ μὲν ψυχροτέρου γιγνομένου τῆς ἐν ἡμῖν θερμότητος εἰς τοσοῦτον ὡς προβλημάτων τέ τινων καὶ σκεπασμάτων δεῖσθαι πρὸς αὐτὸν, ἐνίοτε δὲ θερμοτέρου πάλιν εἰς τοσοῦτον ὡς μὴ δύνασθαι φέρειν, ἀλλ᾽
11.527 ὑποφεύγειν εἰς σκέπην τέ τινα καὶ σκιάν. ἔστι δ᾽ ὅτε οὕτως ἔχοντος συμμέτρως, ὡς μήτε τῶν θαλπόντων ἡμᾶς μήτε ψυχόντων ἐπιθυμεῖν, ἀλλ᾽ ἄλυπόν τε καὶ ἀναίσθητον εἶναι τὴν ὁμιλίαν αὐτοῦ. τὴν μὲν δὴ τρίτην κρᾶσιν τήνδε τὴν νῦν εἰρημένην σύμμετρον καλῶ καὶ μέσην εἶναι τῶν ἄλλων φημὶ καὶ μήτε θερμαίνουσαν ἡμῶν τὸ σῶμα μήτε ψύχουσαν τῶν δ᾽ ἄλλων δυοῖν τὴν μὲν θερμαίνειν ἡμᾶς, τὴν δὲ ψύχειν. ἐοικέναι δέ φημι τῇ μέσῃ τε καὶ συμμέτρῳ κράσει τοῦ περιέχοντος ἡμᾶς ἀέρος τήν τ᾽ ἐκ τῶν ἀφιεσμάτων καὶ τὴν ἐξ ἐλαίου γινομένην θερμασίαν. εἰ δὲ μηδ᾽ οὕτω σαφές ἐστιν ὃ βούλομαι δηλοῦν, ἐκείνως ἄν σε μᾶλλον οἶμαι συνήσειν. δύο μοι νόησον ἀνθρώπους ὁμοίως μὲν κεκραμένους τὸ σῶμα, ψαύοντας δ᾽ ἀλλήλων ἢ τοῖς στέρνοις τε καὶ τῇ γαστρὶ μόνοις, ἢ καὶ ταῖς χερσὶ καὶ τοῖς σκέλεσιν. εἰ μὲν δὴ τὴν αὐτὴν ἔχοι τοῖς δύο τούτοις ἀνθρώποις ὁ περιέχων αὐτοὺς ἀὴρ κρᾶσιν, ὡς εἶναι τὴν ἐν τοῖς τρισὶ σώμασιν ἴσην θερμασίαν, οὐδὲν ἂν ὑπ᾽ οὐδενὸς οὕτω γε θερμαίνεσθαι
11.528 λέγοιτο. τὰ γὰρ ὅμοια πάντη σώματα πρὸς ἀλλήλων οὐδεμίαν ἀλλοίωσιν ἴσχει. ψυχροῦ δ᾽ ὄντος τοῦ περιέχοντος ἀλλήλους ἂν οἱ ἄνθρωποι θερμαίνειν λέγοιντο, καίτοι γε οὐ θερμαίνοντες, ἀλλ᾽ εἴργοντες τὸ ψυχρόν. εἰθικότες οὖν οἱ πολλοὶ καταχρῆσθαι τοῖς ὀνόμασιν, τὸ κωλυτικὸν τοῦ ψύχεσθαι θερμαῖνον ὀνομάζουσιν οὐκ ὀρθῶς. ὀνομάζειν μὲν οὖν αὐτοῖς συγχωρητέον ὡς ἂν ἐθέλωσιν, ταὐτὸν δὲ σημαίνειν ἐκ τοῦ θερμαίνειν ῥήματος ἐν ἑκατέρᾳ τῇ ῥήσει κατ᾽ οὐδένα τρόπον ἔτι

συγχωρητέον. οὐ γὰρ δὴ ταὐτόν γέ ἐστιν ἐξ αὐτοῦ τινι παρέχειν θερμασίαν, ἢ κωλύειν τὸ ψυχρόν. οὕτω δὴ τούτων ἐχόντων, ὅσα περ ἂν ἡμῖν ἔξωθεν προσπίπτοντα τὴν αὐτὴν ἔχῃ τῷ σώματι θερμασίαν, εἴτε ἐξ ἑαυτῶν εἴτε παρ᾽ ἄλλων εἴτε καὶ ἐξ ἡμῶν αὐτῶν εἰληφότα, ταῦτα κατὰ μὲν τὸν ἀκριβῆ λόγον οὔτε θερμαίνειν ἡμᾶς οὔτε ψύχειν λεκτέον· εἰ δὲ καταχρῆσθαί τις βούλοιτο συγχωρητέον, ἀναμιμνήσκοντα μόνον ἐν τῇ ῥήσει τὴν διαφορὰν τῶν σημαινομένων. ἄλλως μὲν γὰρ ὁ θερμότερος ἀὴρ θερμαίνειν ἡμᾶς λέγεται, κατ᾽ ἄλλον δὲ τρόπον ὁ σύμμετρος.

11.529 ἀνάλογον δ᾽ ἔχει τῷ μὲν θερμοτέρῳ πύρεθρόν τε καὶ νᾶπυ καὶ πέπερι, τῷ συμμέτρῳ δὲ πιμελή τε καὶ ἔλαιον. ἐνεργείᾳ μὲν γὰρ οἱ ἀέρες θερμοὶ, δυνάμει δὲ τὰ φάρμακα. τὸν μὲν γὰρ ἀέρα θερμὸν οὐχ ἡμεῖς αὐτοὶ ποιοῦμεν, ἀλλ᾽ ὅτι τοιούτῳ πλησιάζομεν. τὰ φάρμακα δὲ, ὡς κἀν τῷ τρίτῳ περὶ κράσεων ἐδείκνυμεν, τὴν ἀρχὴν τῆς ἐπὶ τὸ θερμαίνεσθαι μεταβολῆς ἐξ ἡμῶν λαμβάνοντα, τὰ μὲν εἰς ἶσον ἡμᾶς ἀντιθερμαίνειν πέφυκεν, τὰ δὲ μᾶλλον, τὰ δ᾽ ἧττον. ἐκ δὴ τῶν ἴσων ἀντιθερμαινόντων ἔστι τὸ ἔλαιον. ὑπάρχει δ᾽ αὐτῷ κἀκ τοῦ γλίσχρῳ τε εἶναι καὶ δυσαπορρύτῳ καὶ τῶν πόρων ἐμφρακτικῷ κατὰ διττὸν τρόπον ἐπαύξειν, ὡς δοκεῖν τὴν θερμασίαν. ἐκ μὲν δὴ τοῦ περιπλάττεσθαι δίκην ἀμφιέσματος, ἢ προβλήματος, ἐκ δὲ τοῦ τοὺς πόρους ἐμφράττειν τὸ κωλύειν ἀπορρεῖν ἔνδοθεν τὸ πολὺ τῆς ἀτμώδους θερμότητος. κατὰ ταῦτ᾽ οὖν οὐδὲ ξηραίνεσθαι τοῖς σώμασιν ἡμῶν ἐπιτρέπει, πλὴν εἰ θερμόν τε προσάγοιτο καὶ χρόνῳ πλείονι· καὶ ταύτην αὐτοῦ τὴν δύναμιν ἅπαντες ἄνθρωποι τῇ πείρᾳ μεμαθηκότες, οὓς ἂν ἱδρῶσαι δαψιλέστερον ἐθέλωσιν, ἢ λελουμένους, ἢ ἀλούτους, οὐ προσφέρουσιν αὐτοῖς εὐθὺς

11.530 κατ᾽ ἀρχὰς ἔλαιον, ἀλλ᾽ ἐπὶ μὲν τῶν νενοσηκότων, ἐπειδὰν ἱδροῦν ὑπάρξωνται, θερμήναντες περιχέουσι. ἐπὶ δὲ τῶν νοσούντων, ἐπειδὰν αὐτάρκως ἱδρώσωσιν. ἐπὶ δὲ τῶν ὑγιαινόντων, ὅσοι μὲν ἐξ ὁδοιπορίας μακρᾶς εἰσι καὶ γυμνασίων πλειόνων, ἢ ὁπωσοῦν ἄλλως ἐξηραμμένοι τὸ σῶμα, τούτοις μὲν ἀλείφεσθαι καὶ πρὶν ἱδρῶσαι συγχωροῦσιν. ὅσοι δ᾽ ἠπεπτηκότες, ἢ πληθωρικὸν τὸ σῶμα ἔχοντες, τούτοις οὐδὲ λουομένοις ἐπιτρέπουσιν ἐλαίῳ χρῆσθαι.

Καί μοι δοκεῖ κἀνταῦθα μέσον τῶν ὑγραινόντων καὶ ξηραινόντων ἡμᾶς εἶναι τοὔλαιον, ὥσπερ ὀλίγον ἔμπροσθεν ἐδείχθη, τῶν θερμαινόντων καὶ

ψυχόντων. ὑγραίνει μὲν γὰρ ὕδωρ, ξηραίνει δὲ δάφνινόν τε καὶ κέδρινον ἔλαιον. τό γ' οὖν ἔλαιον ἁπλῶς οὑτωσὶ προσαγόμενον, ἄνευ γε τοῦ προθερμανθῆναι πρὸς ἡμῶν αὐτῶν ἐξ ἐπιτεχνήσεως ἢ ψυγῆναι, τούτου γὰρ ἐπὶ πάντων ἀεὶ χρὴ μεμνῆσθαι, τοιαύτην φυλάττει τὴν κρᾶσιν ἡμῶν, οἵαν περ παρέλαβεν, εἶργον ὡς ἔνι μάλιστα καὶ κωλῦον κενοῦσθαι τοῦ σώματος ἁπάσας τὰς ἀτμώδεις διαπνοάς. εἰ δ' ἀνατρίβεις ἐπιπλέον ἐλαίῳ
11.531 τὰ μέλη, θερμότητά τέ τινα γεννήσεις ἐκ τῆς τρίψεως ἐπίκτητον, ὠφελήσεις τε τοὺς κεκοπωμένους ἐν τῷδε, τοῦτο μὲν εἴσω τοῦ σώματος εἰς τοὺς κατὰ λεπτὸν πόρους εἰσδυομένου τοῦ λίπους ὡς μαλάττειν τὰ κατεσκληρυμμένα, τοῦτο δὲ τῇ θερμότητι διαφοροῦντος, ὅτι δριμὺ καὶ λεπτὸν ὑγρὸν ἐν τοῖς κόποις ἐκ συντήξεως γεννηθὲν ὑπὸ τοῦ δέρματος ἐστέγετο. φαίνονται γὰρ κᾀκτὸς ἀπορρέοντες ἱδρῶντες τοῖς γυμναζομένοις, φαίνονται δ' οὐκ ὀλίγα κᾀντὸς εἰς τὴν γαστέρα συρρέοντα περιττώματα καὶ οἷον συντήγματα. λογίζεσθαι δ' ἐκ τούτων χρὴ, κᾂν μὴ φαίνηται, καταλείπεσθαί τινα καὶ καθ' ὅλον τὸ σῶμα πολλὰ τοιαῦτα κενώσεως δεόμενα. διττὴ γὰρ ἐν τοῖς κόποις γίγνεται διάθεσις, ὡς ἐν ἑτέροις ἐπιδέδεικται, ξηραινομένων μὲν τῶν ὁμοιομερῶν τοῦ ζώου μορίων, ὑγραινομένων δὲ τῶν κενῶν χωρῶν, οὐ χρηστῇ καὶ κατὰ φύσιν ὑγρότητι, πληθώρα γὰρ ἦν, ἀλλὰ λεπτῇ καὶ δριμείᾳ καὶ δακνώδει· καὶ διὰ τοῦτο καὶ τῶν ἰωμένων δέονται διττῶν, τῶν τε τὴν ξηρότητα τεγγόντων καὶ τῶν τὴν δριμεῖαν ὑγρότητα κενούντων. καὶ διὰ τοῦτο πρὸς ἄμφω
11.532 ταῦτα τὰ διὰ τῶν γλυκέων ὑδάτων λουτρὰ χρησιμώτατα τετύχηκεν ὄντα, τῇ μὲν ὑγρότητι τὴν ξηρότητα τῶν ὀργάνων ἐπανορθούμενα, τῇ δ' αὖ θερμότητι τὸ λεπτὸν καὶ δριμὺ διαφοροῦντα. καὶ εἴ γε παραμένειν τοῖς σώμασιν ἐδύνατο καὶ μὴ ῥᾳδίως ἀπορρεῖν τὸ ὕδωρ, αὔταρκες ἂν ὑπῆρχε μόνον. ἐπεὶ δὲ τό τε περιχεόμενον ἔξωθεν ἀπορρεῖ ῥᾳδίως, τό τ' εἰς τοὺς πόρους τοῦ σώματος εἰσδυόμενον ἐκρεῖ λαβὴν οὐδεμίαν ἔχον, εἰς τοῦτ' αὐτὸ χρησίμως ἔλαιον μίγνυται, καὶ μᾶλλόν γε ἢν ἐπιπλέον ἐξ ἀμφοῖν ἀνατρίψηταί τις, ὅπερ ὠνόμαζον οἱ παλαιοὶ χυτλοῦσθαι, καὶ ἀντετίθεσάν γε αὐτῷ τὸ ξηραλειφεῖν. ἔστι μὲν καὶ τοῦτό πως αὐτὸ καθ' αὐτὸ κόπων ἰατικὸν, ἀλλ' ἀπολείπεται πάμπολυ τοῦ χυτλώσασθαι. τά τε γὰρ ἄλλα, κᾀπειδὰν ἀνακόπτηται καὶ ἀνατρίβηται μετ' ἐλαίου τὸ ὕδωρ, δύσλυτον ἱκανῶς ἔχει τὴν μίξιν, ὥσθ' ὅσοις ἂν ἐπαλείφηταί τε καὶ περιπλάττηται

σώμασι τὸ ἔλαιον, ἀναγκάζεσθαι τούτοις ἐπιπλέον ὁμιλεῖν καὶ τὸ ὕδωρ. ἔστι τοίνυν κἀνταῦθα ὥσπερ τις ὕλη τῶν ὑγραινόντων τε καὶ ξηραινόντων τὸ ἔλαιον, ὡς ἔμπροσθεν ἐδείχθη, τῶν θερμαινόντων τε καὶ
11.533 ψυχόντων. ἄν τε γὰρ ξηραίνοντι μιχθῇ, ξηραῖνον τὸ σύμπαν ἀπετέλεσεν, ἄν θ' ὑγραίνοντι, καὶ τοῦθ' ὑγραῖνον εἰργάσατο καὶ πολλάκις καὶ μᾶλλον ὑγραῖνον ἀπετελέσθη τὸ μικτὸν ἐξ ἀμφοῖν αὐτοῦ τοῦ πρώτως ὑγραίνοντος, ὥσπερ ἐφ' ὕδατος ἔχει. τοῦτο γὰρ ὑγραίνει μὲν πρώτως, ἀλλὰ τὸ μὴ παραμένειν ἐπιπλέον ὀλιγοχρόνιον ἴσχον τὴν ἐνέργειαν ἀσθενῶς ὠφελεῖ. δεσμὸς οὖν αὐτῷ τοὔλαιον γιγνόμενον, ἀναγκάζον γε τοῖς χρῄζουσιν τῆς ἀπ' αὐτοῦ βοηθείας ἐπιπλεῖστον ὁμιλεῖν, ἄριστον ἰαμάτων πάντων ἀπετελέσθη τοῖς ἐξηραμμένοις τε αὐχμώδεσι σώμασιν. οὕτω δὲ κἂν ξηραῖνον ἐλαίῳ μίξῃς φάρμακον, οἷον χαλκῖτιν, ἢ πύρεθρον, ἢ κηκίδα, ἢ στρούθιον, ξηραῖνον ἔσται τὸ μικτὸν ἐξ ἀμφοῖν. ἅπασιν οὖν ὑπηρετοῦν τοῖς ἑαυτῷ μιγνυμένοις τὸ ἔλαιον, εὐλόγως οἷον ὕλη τις ἁπάντων ἐστί. τὴν μὲν οὖν οἰκείαν αὐτῶν ἐνέργειαν ἐξ ἀνάγκης μειοῦν, οὐ μὴν τήν γε ὠφέλειαν, ἀλλ' ἔστιν ὅτε καὶ προσαυξάνον. οὐ γὰρ δὴ ταὐτόν γ' ἐστὶν, εἰ καὶ δόξει τισὶν ἐνέργειάν τέ τινος αὐξῆσαι καὶ ὠφέλειαν. ἡ μὲν γὰρ ἐνέργεια κατὰ τὴν οἰκείαν ἑκάστου δύναμιν, ἡ δ'
11.534 ὠφέλεια καὶ κατὰ συμβεβηκὸς ἐνίοτε. λεχθήσεται μὲν οὖν ἐπιπλέον ἐν τοῖς ἑξῆς ὑπὲρ τῆς κατὰ συμβεβηκὸς ὠφελείας. εἰρήσεται δὲ καὶ νῦν εἰς τοσοῦτον, εἰς ὅσον δεῖ τοῖς παροῦσιν. ἐλαίῳ γὰρ ἀνακοπτόμενον ὕδωρ, ὡς τὸ καλούμενον ὑδρέλαιον ἐργάσασθαι, τοῖς κεκοπωμένοις ἀρήγει μᾶλλον ἢ εἰ μόνον ὑπῆρχεν, οὐ τῷ τὴν οἰκείαν ἐπιτείνεσθαι δύναμιν, ἀλλὰ τὸ περιμένειν ἐπιπολὺ τοῖς δεομένοις.

Ὅτι δ' εἰ μὴ μέσον εἴη τῇ κράσει τὸ ξυνδοῦν, τὰ πρώτως βοηθοῦντα τοῖς δεομένοις ἐναντιώσεται πολλάκις αὐτῶν ταῖς ἐνεργείαις, ἐξ αὐτῆς γε τῆς τῶν φαρμάκων φύσεως ἔνεστί σοι καθόλου διδαχθῆναι κἀκ τῶν τῆς κατ' εἶδος τῶν φαρμάκων ἱστορίας. ἀπὸ μὲν τῆς τοῦ καθόλου, διότι τὸ μιγνύμενον ἂν ἐπὶ τοὐναντίον ἀπάγῃ τὴν δύναμιν τοῦ κραθέντος αὐτῷ φαρμάκου, δύναταί ποτε καὶ νικῆσαι καὶ τελέως εἰς ἕτερον εἶδος μεταστῆσαι τὸ μικτὸν ἐξ ἀμφοῖν. οὐδεμίαν γὰρ οὔτε ἰδέαν ἐπίσημον οὔτε
11.535 δύναμιν ἐμφαίνεσθαι χρὴ τοῦ λόγον ὕλης ἔχοντος ἐν τῇ μίξει. κατὰ δὲ τὴν ἀπὸ τῶν ἐν μέρει πεῖραν ᾗδ' ἂν μάθοις ὡς οὐ χρὴ τὸ λόγον ὕλης

ἔχον οὔτε θερμαίνειν οὔτε ψύχειν οὔτε ξηραίνειν οὔθ' ὑγραίνειν, εἰ πρῶτον μὲν ἀναμνησθείης ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα ἐπὶ πίττης ὑγρᾶς καὶ ῥητίνης καὶ σμύρνης, ἀσφάλτου τε καὶ κεδρίνου καὶ δαφνίνου καὶ τῶν ἄλλων ὅσα θερμαίνει. ταῦτα γὰρ ἅπαντα μεθ' ὕδατος ἀνατριβόμενα παραπλησίως ἐλαίῳ θερμαίνει μᾶλλον ἢ ψύχει καὶ ξηραίνει μᾶλλον ἢ ὑγραίνει, διὸ καὶ τὰς κοπώδεις αἰσθήσεις οὐ πάνυ τι λύειν πέφυκεν. οὔτε γὰρ τῆς αὐτῆς ἐστιν ὕδατι δυνάμεως, ὡς συνεργάζεσθαί τι μᾶλλον ἢ ἀντιπράττειν, οὔτε τῆς μέσης τῶν ἄκρων, ἵν' ὡς ὕλη τις ὑπηρετῇ τῷ πρώτως ἐνεργοῦντι. ξηραίνει γὰρ καὶ θερμαίνει μᾶλλον, οὐχ ὑγραίνει, καὶ ψύχει καθάπερ ὕδωρ. εἰ δέ τινι τῶν ἰσχυρῶς ξηραινόντων τε καὶ θερμαινόντων ἀναμίξαις ὕδωρ, οὐ μόνον οὐδὲν ὧν πέφυκε δρᾷν ὄψει γιγνόμενον, ἀλλὰ καὶ τελέως ἀμαυρούμενον ὡς εἰ
11.536 μηδὲ τὴν ἀρχὴν ἐμέμικτο. χαλκῖτις οὖν καὶ σανδαράχη καὶ μίσυ καὶ τἆλλ' ὅσα θερμαίνει τε σφοδρῶς ἡμᾶς καὶ ξηραίνει, φυλάττει τὴν ἑαυτῶν ἔτι δύναμιν ἰσχυρὰν ὕδατι μιχθέντα. πανταχόθεν οὖν δῆλον ὡς μέσον εἶναι χρὴ τὴν κρᾶσιν ὅτί περ ἂν ἑκατέροις τοῖς ἄκροις ὑπηρετήσειν μέλλῃ, καθάπερ ὕλη τις, ὥσπερ καὶ τοὔλαιον ἐν τῇδε τῇ χώρᾳ τιθεὶς οὐκ ἂν ἁμάρτοις. ὁμολογήσει γὰρ ἅπαντά σοι τὰ κατὰ μέρος ἔργα καὶ μέμψῃ τοῦ μήκους τῶν λόγον οὐχ ἡμᾶς, ἀλλ' ὅσοι τὴν ὀρθὴν ὁδὸν ὑπερβαίνοντες ἐπὶ μοχθηρᾶς τε καὶ μακρᾶς ἐκτρέπονται. διὸ καὶ τοῦτον ἠναγκάσθην ἐγὼ μηκῦναι τὸν λόγον, ἐπεὶ τό γ' ἀληθὲς αὐτὸ ταχίστην ἔχει τὴν εὕρεσιν, ὡς ἂν ἐξ αὐτῶν τῶν ἐναργῶς φαινομένων ὁρμώμενον. οὐ μὴν οὐδ' εἰς τοσοῦτον ἐμήκυνα τὸν λόγον εἰς ὅσον ἐγχωρεῖ τῷ καὶ πάντα τὰ κακῶς ὑπ' αὐτῶν εἰρημένα γράψαι προῃρημένῳ καὶ τὰς αἰτίας τῶν σφαλμάτων ἐκδιδάξαι. καίτοι γε τὰς αἰτίας εἰπεῖν ἴσως ἀναγκαῖόν ἐστιν ὑπὲρ τοῦ φυλάττεσθαί τε τοὺς ἐξ αὐτῶν παραλογισμοὺς ἐν ἁπάσῃ τῇ κρίσει τῶν κατὰ μέρος φαρμάκων ἔχεσθαί τε τῆς ἀληθοῦς διδασκαλίας
11.537 ἐπιστημονικώτερον. αὐξάνονται γὰρ ἡμῖν αἱ περὶ τῶν πραγμάτων πίστεις, ὅταν μὴ μόνον αὐτὸ γιγνώσκωμεν τἀληθὲς, ἀλλὰ καὶ τῶν παραλογισμῶν ἁπάντων τὰς αἰτίας ἐκμάθωμεν. τοῦτο μὲν οὖν ἐν τοῖς ἑξῆς ἐργασόμεθα.

Νυνὶ δὲ περὶ ῥοδίνου βραχέα προσθεὶς ἐπὶ τοῖς κατ' ἀρχὰς εἰρημένοις ἐν τῷδε καταπαύσω τὸν λόγον. εἴρηται μὲν οὖν ὡς οὔτ' ὀσμαῖς οὔτε χρόαις

οὔτ’ ἄλλῳ τινὶ τῶν συμβεβηκότων εὔλογόν ἐστι προσέχειν τὸν νοῦν ἐν ταῖς τῶν δυνάμεων ἐξετάσεσιν, ἀλλὰ τοῖς ἐναργῶς φαινομένοις ἐπί τε τῶν ὑγιαινόντων καὶ νοσούντων σωμάτων. ἀποδέδεικται δὲ καὶ ὡς τοὔλαιον, ὅταν ἄναλον ᾖ καὶ καθαρὸν ἀκριβῶς, ἐκ τῆς μέσης ὕλης ἐστίν. ὥστε καὶ τὸ ῥόδινον χρὴ τὸ ἀκριβὲς καὶ ἁπλοῦν καὶ ὄντως ῥόδινον ἐξ ἐλαίου τε τούτου κατεσκευάσθαι καὶ μηδὲν ἐν ἑαυτῷ φαρμακωδέστερον ἔχειν, ὥσπερ εἰώθασιν οἱ μυρεψοὶ σκευάζειν, ὑπὲρ τοῦ μόνιμόν τε καὶ εὐωδέστερον γενέσθαι προστύφοντες ἀρώμασι τοὔλαιον πρὶν ἐμβαλεῖν τὰ ῥόδα. κάλλιον δὲ ἴσως ἐστὶ καὶ τοῖς ὀνόμασιν διαστέλλειν αὐτὰ,

11.538 καθότι καὶ τοὺς παλαιοὺς οἶδα ποιοῦντας. ἔλαιον μὲν γὰρ ῥόδινον ὀνομάζουσιν τὸ χωρὶς τῶν ἀρωμάτων σκευασθέν. ὅτῳ δ’ ἐπεμβέβληταί τι καὶ τούτων, οὐκ ἔλαιον ἔτι τὸ τοιοῦτον, ἀλλὰ μύρον ἤδη προσαγορεύουσιν. ὥστε ἐπειδὴ τὸ μὲν ἔλαιον οἷον ὕλη τίς ἐστιν τῶν θερμαινόντων τε καὶ ψυχόντων φαρμάκων ἐκ τῆς μέσης κράσεως ὑπάρχον, ἐξ ἐλαίου δὲ καὶ ῥόδων χυλῶν σύγκειται τὸ ῥόδινον, ἔστι δήπου καὶ αὐτὸ τοιοῦτον τὴν κρᾶσιν οἷός περ καὶ ὁ τῶν ῥόδων χυλός. ἔστι δὲ δήπου ῥᾷστον οὐ ῥόδων χυλοῦ μόνον αὐτοῦ καθ’ ἑαυτὸν, ἀλλὰ καὶ συνθέντας ἔλαιον ῥόδινον ἐπί τε τῶν ὑγιαινόντων καὶ νοσούντων, ὡς ἤδη πολλάκις εἴρηται, τὴν βάσανον αὐτοῦ ποιήσασθαι τῆς δυνάμεως. εὑρήσεις οὖν ἐμψυχομένους μὲν ὑπ’ αὐτοῦ τοὺς ἔτι κεκαυμένους καὶ παραχρῆμά τινος ὠφελείας αἰσθανομένους, βλαπτομένους δ’ ἐναργῶς ἅπαντας τοὺς ἐψυγμένους, ὥστε σε σαφῶς ἑκατέρωθεν συνιέναι τῆς δυνάμεως αὐτοῦ ψυχούσης μᾶλλον ἢ θερμαινούσης. οὐ μὴν ἰσχυρά γε ἡ

11.539 ἀπὸ ῥοδίνου φαίνεταί σοι ψύξις, ἀλλ’ ἐγγυτάτω πως εἶναι δόξει τῆς μέσης κράσεως. ὀνομάζω δὲ τὰ τοιαῦτα φάρμακα σαφοῦς ἕνεκα διδασκαλίας ἐκ τῆς πρώτης φύσεώς τε καὶ τάξεως τῶν ψυχόντων, ὥσπερ αὖ καὶ ὅσα βραχὺ τῆς μέσης κράσεως ἐπὶ τὸ θερμότερον ἀποκεχώρηκεν, ἐκ τῆς πρώτης ἀποστάσεώς τε καὶ τάξεως τῶν θερμαινόντων. ταυτὶ μὲν ἐν τῷ παρόντι περὶ ῥοδίνου χρὴ γινώσκειν. ἀναγκαῖον γὰρ ἔσται μοι καὶ κατὰ τὸν ἑξῆς λόγον ἔτι μνημονεῦσαί τε τοῦ φαρμάκου καὶ προσθεῖναι τὰ λείποντα ὧν εἴπομεν.